2. *ἐρινεοῦ*] Ald. H.; *ἐρίνου* St. Sch. Equidem refero hoc ad arborem, ideoque tenui scripturam Aldinae; si fructum dicere voluisset, numero usus esset plurali. Magna obtinet et in libris et apud diversos auctores in scribendis hisce vocibus varietas. Locus gravissimus est apud Aristotelem Histor. Anim. 5, 32, ubi nos Bekkeri recensio non satis certos fecit: mirum enim ibi fructus caprifici ab initio *οἱ ἐρινεοὶ* vocatos brevi post *τὰ ἐρινᾶ* audire. Definite hac de re loquitur Eustathius ad Il. p. 653. *ἐρινεὸς δὲ κατὰ μέν τινας καὶ ἡ ἀγρία συκῆ καὶ ὁ καρπὸς αὐτῆς, ὥσπερ καὶ ἐλαία τύ τε φυτὸν καὶ ὁ καρπός. Ἀριστοτέλης δὲ ἐρινεοὺς μὲν τὸ φυτὸν ἐν τοῖς περὶ ζώων, ἐρινοὺς δὲ τὸν καρπὸν, ἀφ' οὗ κατὰ Παυσανίαν ἐρινάζειν τὸ περιάπτειν ταῖς ἡμέροις συκαῖς ὀλύνθους, ἤτοι ἐρινοὺς, φησιν.* ad Odyss. p. 1536. *φασὶ δὲ οἱ παλαιοὶ καὶ ὅτι ἀρσενικῶς μὲν ἐρινὸς λέγεται τὸ δένδρον· οὐδετέρως δὲ ὁ καρπός· οἵ καὶ ἡ κέδρος φασὶ θηλυκῶς τὸ φυτὸν, τὸ κέδρον δὲ ὁ καρπός.* et ad Iliad. p. 1205 *κατὰ τὸ ἄρρεν, ὡς φησιν Ἀθήναιος, λέγεται ἐρινὸς ἡ ἀγρία συκῆ, ἐξ οὗ πλεονασμῷ τοῦ ε παρ' Ὁμήρῳ ἐρινεός.* Cf. Choerob. ap. Cram. Anecd. II. p. 198. 199. Jul. Poll. Onom. VII. 30 *ἔρινα τὰ τοῦ ἐρινεοῦ σῦκα.* Athenae. 3, 3 p. 76 ed. Cas. versu Sophoclis laudato addit *πέπων δ' ἔρινος εἴρηκεν ἀντὶ τοῦ πέπον ἔρινον.* et c. 4 *τὸ δένδρον ἡ ἀγρία συκῆ, ἐξ ἧς τὰ ἔρινα, ἐρινὸς κατὰ τὸ ἄρρεν λέγεται.* Neque ex his neque e Theophrasto, collatis librorum scripturis, certi quidquam statui potest. Dedi nunc quod facta comparatione maxime probabile visum, ubi arbor nominatur *ἐρινεός*, ubi fructus *ἐρινόν*.

κεγχραμίδων] Ald. Edd.; *κεχραμίδων* VP; — *ex putrescentibus earundem granis* G., unde cum *σηπομένων* additum legisse Sch. suspicatur. Nisi id e Plinio sumsit. — Dein *κεχραμίδες* P.

κεντρίνας] U; conj. Bo. H. St. Sch.; *κεντινὰς* M Ald.; *centine* G. Haec ad *Thenthredinum* genus pertinere, commemorata etiam a Caesalpino, adnotat Spr.

εἰςδυομένους] Ald. Edd.; *εἰς δυομέρους* M.

ἐρινῶν] St. et U superscripto *ε* inter *ν* et *ω*.; *ἐρινεῶν* P$_2$ Ald.; *ἐρίνων* Sch. qui in scribenda hac voce sibi non constat.

πολλὰς γὰρ] *γὰρ* in U superscriptum.

κεγχραμίδας] *κεχραμίδας* V.

3. *γιγνώσκεται*] U; *γινώσκεται* P$_2$ Ald. Edd.

ἐρινασμένον] *σῦκον* i. u. add. St. *Noscitur quae aptae culicibus emerserint* G. — *ἐρινεασμένον τὸ* P$_2$.

προστιθέασι — ὗσῃ] *προστιθέασι καὶ τοῖς δεομένοις τὰ ἐρινὰ ὅταν μὴ ὗσῃ* St.

τὰ ἐρινὰ γίνεται] UMV; *γίνεται τὰ ἔρινα* Ald.; *ἔρινα γίνεται* P$_2$; *γιν. τὰ ἐρινά* H. St. Sch. Sed Amati affirmat Urb. h. l. *ἔρινα* exhibere. *caprificus exeunt* G.

καὶ ὁπόταν αἰγίπυρος ᾖ πολύς] *καὶ* solus dat U. Si quid video aliae quaedam plantae enumerantur, quibus *cynipes* inhabitare solent, qui etiam ficus fructus perforare narrantur; his igitur vis caprificandi, *τοῦ ἐρινάζειν*, pariter tribuitur. Dicit autem: *et polium et quando magna sit aegipyri copia*, i. e. quando aegipyrus magna copia nascatur. — *αἰγίπυρος* UP H. St. Sch.; *αἰγείπυρος* Ald. Spr. *Eryngii* speciem esse conjicit. Theocr. Id. 4, 25 *αἰγίπυρος καὶ κνύζα καὶ εὐώδης μελίτεια*, ubi Schol. *ἔστιν ἀκανθώδες φυτὸν ἢ εἶδος βοτάνης· τὸ δὲ*

εσθίουσι τοὺς ψῆνας. ἄχος δὲ τούτου φασὶν εἶναι τοὺς καρκίνους προσπερονᾶν· πρὸς γὰρ τούτους τρέπεσθαι τοὺς κνῖπας. ἀλλὰ γὰρ δὴ ταῖς μὲν συκαῖς αὗται βοήθειαι. τοῖς δὲ φοίνιξιν αἱ ἀπὸ τῶν ἀρρένων πρὸς τοὺς θήλεις· οὗτοι γάρ 4.
εἰσιν οἱ ἐπιμένειν ποιοῦντες καὶ ἐκπέττειν, ὃ καλοῦσί τινες ἐκ τῆς ὁμοιότητος ὀλυνθάζειν. γίνεται δὲ τόνδε τὸν τρόπον. ὅταν ἀνθῇ τὸ ἄρρεν ἀποτέμνουσι

φύλλον ἔχει πλατὺ ὥσπερ φακός· ἔστι δὲ γλαυκίζουσα εἰς ἕλκη φλεγμαίνοντα ἀγαθή. Sed Eustath. ad Il. p. 307. *αἰγίπυρρος πόα πυρρὰ ἣν αἶγες νέμονται;* cf. Bekk. Anecd. p. 260, ubi *αἰγίπυρος* scriptum est. Gaza hoc non legit in cod. suo: *Quin et polium culices gignit cum copiose fructificat.* RConst. conjecerat *πόλιον ὅπου ἂν αἰγ.* Schn. edidit *πόλιον καὶ τὸν αἰγίπυρον ὅπου ἂν ᾖ πολύς.* Si quis in v. *αἰγίπυρος* offendat, possit Gaza duce ita scribere *πόλιον ὅποτ' ἂν αὐτῷ καρπὸς ᾖ πολύς.*

τοὺς — κυττάρους] sic emendavi. In U apparet antea *κυπαίρους* scriptum fuisse sed *α* mutatum in *ε* ut simul *α* et *ε* appareat, sub *ε* p. supposito; *κυπέρους* MV; *τὴν τ. πτ. κύπειρον* Ald. H.; *κνιπήραν* RConst. conj.; *κνίπειριν* attulit Palmer. Exerc. p. 585 exhibuitque St. Hesych. *κυπάρους τὰ κοῖλα ἔλεγον ἀγγεῖα καὶ χωρητικά. διὰ τοῦτο καὶ τὰς τῶν σφηκῶν κατατρήσεις καὶ τὰς τῶν αἰδοίων βαλάνους ἐκ μεταφορᾶς κυπάρους λέγουσι. ὁ δὲ Θεόφραστος προάνθησίν τινα τῆς πεύκης καὶ τῆς πίτυος κύπαρον προσαγορεύει.* Hujus auctoritate motus *κυπάρους* edidit Schn., quae vox aliunde non est nota. Sed Hesychium hac in re falsum esse luculenta sunt indicia. Idem enim habet haec: *κύτταροι· οὕτω τὰς τρήμας τῶν κηρίων ἔφη Ἀχαιός. τινὲς δὲ σφῆκας. καὶ τὰ τῆς πεύκης καὶ πίτυος προανθοῦντα στροβίλια. καὶ πυθμένες. καὶ τῶν αἰδοίων αἱ βάλανοι. καὶ τῶν βαλάνων τὰ ἀγγεῖα.* Vides igitur *κύπαρον* et *κύτταρον* Hesychii idem significare, eumque nobis pro duobus vocabulis vendidisse, quod unum est; *κύπαρος* enim e *κύτταρος* coruptum, *π* et *ττ* commutatis, ut jam Stephanus in Thes. animadvertit. Accedit quod in Theophrasto 3, 3, 8, quem locum respicit Hesych. s. v. *κύπαρος* libri omnes *κύτταρον* habent; sic quoque 3, 7, 3. Tertio loco, 4, 8, 7 Ald. MV *κήταρων* sed U *κύταρων* exhibent. Scriptura *κύτταρος* autem de flore masculo *Pinus*, confirmatur a Schol. ad Aristoph. Vesp. v. 1106 *Θεόφραστος δὲ κυρίως λέγει κύτταρον τὴν προάνθησιν τῆς πίτυος, ἥτις ἐστὶν ὡς στάχυς μικρὸς ἐκ μεγάλων πυρῶν, ξηραινομένης δὲ φυλαχοῦται καὶ ἀποπίπτει,* quae exscripsit Suidas. s. v. Voce *κύτταρος*, quae derivatur a *κύτος*, corpusculum concavum, ampullaceum, significabant, quod nostri *Zelle* dicunt, praesertim igitur nidos apium et vesparum. I. Poll. On. 2, 15 *τὰ δὲ ἀγγεῖα (τῶν μελισσῶν) κύτταροι.* Cf. Arist. Hist. Anim. 5, 19 et 21, 10, 40. Salmas. Ex. p. 378. Hoc loco autem indicari puto tuberculos l. folliculos cavos, qui in ulmi foliis, insectorum hymenopterorum punctatione orti, excrescunt; quos cum saepissime in hac arbore et maxima copia observentur, a veteribus pro singulari ejus parte ad fructificationem pertinente habitos fuisse valde est verisimile. Et sic explico *τὸ φυλαχῶδες τοῦτο* 3, 7, 3 cum Sprengelio. Cf. Oken Allgem. Naturgeschichte 1835. 5 p. 870.

ἐν τούτοις] corr. H. St. Sch.; *ἐν τόποις* UMV Ald.

θηρίδι' ἄττα] Ald. Schn.: *θηριδίαττα* U; *θηρία δίαττα* MV; *θηρίδια ἄττα* H. St.

κνῖπες ὅταν] U. In Ald. legitur *θηρίδι' ἄττα κνίπες· οἱ ὅταν* et sic H. St. Jam vidit Schneid. *κνίπες* ad sequentia trahendum esse ideoque scripsit *θηρίδι' ἄττα· οἱ δὲ κνῖπες ὅταν.* Equidem censui cum U *ἀσυνδετως* scribenda esse, ut convenit in re obiter tantum et in transcursu commemorata. *κνίπες* U Ald. etiam 4, 14, 10 *κνίπες* Ald., utroque loco *κνῖπες* Schn. edidit. Arist. Hist. Anim. 4, 8 quatuor codd. a Bekkero collati *κνῖπες* dare videntur.

ταῖς συκαῖς] *τοῖς σύκοις* St.

τοὺς καρκίνους] „Articulum *τοὺς* suspectum habeo" Sch.

προσπερονᾶν] corr. RConst. H. St. Sch.; *προπέρονταν* Ald.

τούτους] corr. Sch.; *τούτοις* Ald. Edd.

4. *αἱ ἀπὸ*] corr. RConst. H. St. Sch.; *οἱ ἀπὸ* Ald.

τοὺς θήλεις] UMV Ald. Sch.; *τὰς θ.* R Const. H.; *τὰς θηλείας* St.

ὀλυνθάζειν] Ald. St. Sch.; *ὀλυνθιάζειν* H.; *ὅλον θαυμάζειν* U; *ὅλον θαυμάζειν* MVP.

τόνδε τὸν τρ.] Ald. Edd.; *τὸν* superscr. in U.

τὴν σπάθην ἐφ' ἧς τὸ ἄνθος εὐθὺς ὥσπερ ἔχει, τόν τε χνοῦν καὶ τὸ ἄνθος καὶ τὸν κονιορτὸν κατασείουσι κατὰ τοῦ καρποῦ τῆς θηλείας· κἂν τοῦτο πάθῃ διατηρεῖ καὶ οὐκ ἀποβάλλει. φαίνεται δ' ἀμφοῖν ἀπὸ τοῦ ἄρρενος τοῖς θήλεσι βοήθεια γίνεσθαι· θῆλυ γὰρ καλοῦσι τὸ καρποφόρον· ἀλλ' ἡ μὲν οἷον μίξις· ἡ δὲ κατ' ἄλλον τρόπον.

ἐφ' ἧς] corr. St. Sch.; *ἀφ' ἧς* Ald. Edd.

τόν τε χνοῦν] Ald. Edd.; *τόντε χνοῦν* sed *ω* correctum et punctum suppositum U, sec. Amati., *τό τε χνοῦν* sec. Bekk.; *lanuginem* G. Vulgata Schneidero suspecta, mihi vera esse videtur; nisi forte *τὸν τοῦ ἄνθους* scriptum fuit.

τοῖς θήλεσι] *ταῖς θελείαις* St.

βοήθεια] U Schn.; *βοήθειαν* Ald. Edd. — Adjecit in calce Schn. fragmentum ex Athenaeo, quod suo loco proponetur.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Γ.

Cap. I. Ἐπεὶ δὲ περὶ τῶν ἡμέρων δένδρων εἴρηται, λεκτέον ὁμοίως καὶ περὶ τῶν ἀγρίων, εἴ τέ τι ταὐτὸν καὶ ἕτερον ἔχουσι τοῖς ἡμέροις εἴ θ' ὅλως ἴδιον τῆς φύσεως. αἱ μὲν οὖν γενέσεις ἁπλαῖ τινες αὐτῶν εἰσι· πάντα γὰρ ἢ ἀπὸ σπέρματος ἢ ἀπὸ ῥίζης φύεται. τοῦτο δ' οὐχ ὡς οὐκ ἐνδεχόμενον καὶ ἄλλως, ἀλλ' ἴσως διὰ τὸ μὴ πειρᾶθαι μηδένα μηδὲ φυτεύειν· ἐκφύοιτο δ' ἂν εἰ λαμβάνοιεν τόπους ἐπιτηδείους καὶ θεραπείαν τὴν ἁρμόττουσαν· ὥςπερ καὶ νῦν τὰ ἀλσώδη καὶ φίλυδρα, λέγω δ' οἷον πλάτανον ἰτέαν λεύκην αἴγειρον πτελέαν· ἅπαντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα φυτευόμενα βλαστάνει καὶ τάχιστα καὶ κάλλιστα ἀπὸ τῶν παρασπάδων, ὥστε καὶ μεγάλας οὔσας ἤδη καὶ ἰσοδένδρους ἄν τις μεταθῇ διαμένειν· φυτεύεται δὲ τὰ πολλὰ αὐτῶν καὶ καταπηγνύμενα καθάπερ ἡ λεύκη καὶ ἡ αἴγειρος. τούτων μὲν οὖν πρὸς τῇ σπερματικῇ καὶ τῇ ἀπὸ τῶν ῥιζῶν 2.
καὶ αὕτη γένεσίς ἐστι· τῶν δὲ ἄλλων ἐκεῖναι· πλὴν ὅσα μόνον ἀπὸ σπέρματος φύεται καθάπερ ἐλάτη πεύκη πίτυς. ὅσα δὲ ἔχει σπέρμα καὶ καρπὸν κἂν ἀπὸ ῥίζης γίνηται καὶ ἀπὸ τούτων· ἐπεὶ καὶ τὰ δοκοῦντα ἄκαρπα εἶναι γεννᾷν φασιν οἷον πτελέαν ἰτέαν. σημεῖον δὲ λέγουσιν οὐ μόνον ὅτι φύεται πολλὰ τῶν

Inscriptio *περὶ ἀγρίων δένδρων τὸ γ'* U; *περὶ φυτῶν ἱστορίας τὸ γ'* Ald.

Cap. I.

εἴτε — φύσεως] Ante *ἕτερον* et post *ἴδιον* add. *τι* i. u. St. Sch. mavult *εἴτε τι ταὐτὸν ἔχουσι τοῖς ἡμέροις εἰθ' ἕτερον καὶ ὅλως ἴδιον τῆς φύσεως.* At lectio bene habet.

ἢ ἀπὸ σπ.] U Sch.syll.; *ἢ* om. Ald. Edd. o.

οὐχ ὡς] Ald. Edd. G.; *οὐχ* om. UMV, sed abesse nequit.

μηδὲ] UMV Sch.; *μὴ δὲ* Ald.; *μηδὲν* H. St. cum G.

ἐκφύοιτο δ' ἄν] dedi de conj.; *ἐπιφύοιτο δ' ἂν* UMV Ald. Edd.; *ἐπεὶ φύοιτ' ἂν* Sch. cont.

λαμβάνοιεν] An *λαμβάνοι καὶ* fuit?

τὴν ἁρμ.] U Sch.syll.; *τὴν* om. Ald. Edd. o.

καὶ φίλυδρα] U; *καὶ ἡ φιλ.* MV Ald.; *καὶ τὰ φιλ.* H. Sch.; *ἢ καὶ τὰ φιλ.* St.

λεύκην αἴγειρον] *populum* vertit G.

ὥστε καὶ μεγ.] Sch.; *καὶ ὥστε καὶ μεγ.* UM; *καὶ ὥστε μεγ.* P Ald.; *ὥστε μεγ.* H. St.; *τῶν ὥστε μεγ.* Cam.

μεταθῇ] corr. Sch.; *μεταθείη* Ald. H. St.

φυτεύεται δὲ] UMVP St. Sch.; *φυτ. δὴ* Ald. H.; *φύεται* male corr. RConst.

2. *αὕτη*] Sch.; *αὐτὴ* Ald. Edd.

ὅσα μόνον] Ald. Edd. o.; *ὅσα μὴ μόνον* P.

κἂν γίνηται] P Ald. Sch.; *κἂν γίνεται* H.; *καὶ — γίνεται* St.

ἐπεὶ καὶ] *ἔτι δὲ* St.

φύεται] Vo. Sch. H. St.; *φυτεύεται* Ald.

συμβαίνοντα] *σημαίνοντα* M.

ῥιζῶν ἀπηρτημένα καθ' οὓς ἂν ᾖ τόπους, ἀλλὰ καὶ τὰ συμβαίνοντα θεωροῦντες, οἷον ἐν Φενεῷ τῆς Ἀρκαδίας ὡς ἐξερράγη τὸ συναθροισθὲν ὕδωρ ἐν τῷ πεδίῳ φραχθέντων τῶν βερέθρων· ὅπου μὲν ἐγγὺς ἦσαν ἰτέαι πεφυκυῖαι τοῦ καταποθέντος τόπου τῷ ὑστέρῳ ἔτει μετὰ τὴν ἀναξήρανσιν ἐνταῦθα αὖθις ἀναφῦναί φασιν ἰτέαν· ὅπου δὲ πτελέαι αὖθις πτελέας καθάπερ καὶ ὅπου πεῦκαι καὶ
2 H. 8. ἔλαται πεύκας καὶ ἐλάτας, ὥσπερ μιμουμένων κἀκείνων. ἀλλὰ τὴν ἰτέαν ταχὺ προκαταβάλλειν πρὸ τοῦ τελείως ἀδρῦναι καὶ πέψαι τὸν καρπόν· διὸ καὶ τὸν ποιητὴν οὐ κακῶς προσαγορεύειν αὐτὴν ὠλεσίκαρπον. τῆς δὲ πτελέας κἀκεῖνο σημεῖον ὑπολαμβάνουσιν· ὅταν γὰρ ἀπὸ τῶν πνευμάτων εἰς τοὺς ἐχομένους τόπους ὁ καρπὸς ἀπενεχθῇ, φύεσθαί φασι. παραπλήσιον δὲ ἔοικεν εἶναι τὸ συμβαῖνον ὃ καὶ ἐπὶ τῶν φρυγανικῶν καὶ ποιωδῶν τινών ἐστιν· οὐκ ἐχόντων γὰρ σπέρμα φανερὸν, ἀλλὰ τῶν μὲν οἷον χνοῦν τῶν δ' ἄνθος ὥσπερ τὸ θύμον, ὅμως ἀπὸ τούτων βλαστάνουσιν. ἐπεὶ ἥ γε πλάτανος ἔχει φανερῶς καὶ ἀπὸ τούτων φύεται. τοῦτο δ' ἐξ ἄλλων τε δῆλον κἀκεῖνο μέγιστον σημεῖον· ὤφθη γὰρ ἤδη
4. ποτὲ πεφυκυῖα πλάτανος ἐν τρίποδι χαλκῷ. ταύτας τε δὴ τὰς γενέσεις ὑποληπτέον εἶναι τῶν ἀγρίων καὶ ἔτι τὰς αὐτομάτους, ἃς καὶ οἱ φυσιολόγοι λέγουσιν· Ἀναξαγόρας μὲν τὸν ἀέρα πάντων φάσκων ἔχειν σπέρματα καὶ ταῦτα συγκαταφερόμενα τῷ ὕδατι γεννᾶν τὰ φυτά· Διογένης δὲ σηπομένου τοῦ ὕδατος καὶ μίξιν τινὰ λαμβάνοντος πρὸς τὴν γῆν· Κλειδημος δὲ συνεστάναι μὲν ἐκ τῶν αὐτῶν τοῖς ζώοις, ὅσῳ δὲ θολερωτέρων καὶ ψυχροτέρων τοσοῦτον ἀπέχειν

Φενεῷ] H. St. Sch.; *Φεινεωι* UMV; *phineo* G.; *Φεινεῷ* Ald. Vide ad 5, 4, 6.

ὡς] UMV Sch.; *ὥσπερ* Ald. H.; *οὔπερ* St.

βερέθρων] *βορέθρων* M.

ὑστέρῳ ἔτει] Ald. Edd.; *ὑστέρῳ ἔτι* M.; *ὕστερον ἔτει* Sch.

ἀναφῦναι] *ἀναφύναι* Ald. H. St., qui dein *φασὶν*.

ἰτέαν] Ald. H.; *ἰτέας* St. Sch. Singularis ferri potest.

πτελέαι αὖθις πτελέας] St. Sch.; *πτελέας ἀντὶ πελέας* U; *πτελέας ἀντὶ πτελέας* MV; *πτελέας αὖθις πτελέας* P; *πτελέα αὖθις πτελέας* Ald.

καὶ ἔλαται] *ἢ ἐλ.* St.; *καὶ* om. H.

3. *ἰτέαν*] *φασι* i. u. add. St.

ἀδρύναι] Edd.; *ἀδρύναι* Ald.

τὸν ποιητὴν] *Homerum* G.

ὠλεσίκαρπον] *ὀλεσίκαρπον* cum rasura in o U; *ἀλεσίκαρπον* P$_2$. Hom. Odyss. 10 v. 510 *μάκραι τ' ἄγειροι καὶ ἰτέαι ὠλεσίκαρποι*, ubi comparare juvat Eustathium Theophrastum laudantem. Meurs. Theophr. p. 86 hunc locum mutilum esse statuit.

κἀκεῖνο σημεῖον ὑπολαμβ.] U Schn. de conj.; *κἀκείνως μεῖον* M$_2$; *κἀκεῖνον μεῖον* M$_1$ e corr.; *κἀκείνης μεῖον* VP; iidemque 4 *ἀπολαμβάνουσι* habere videntur; *κἀκείνης μεῖζον ἀπολαμβ.* Ald et Bas. ubi in marg. *σημεῖον* adscriptum: *κἀκεῖνο μεῖζον ἀπολαμβ.* H.; *καὶ ἐναντίον ὑπολαμβ.* St.; *ὑπολαμβ.* in Vo. est.

πνευμάτων] UMVP G. mBas. St. Sch. G.; om. Ald. H.

ἐχομένους] *εὐχομένους* V.

ποιωδῶν] U; *ποωδῶν* Ald. Edd. o.

τινών ἐστιν] Ald. Sch.; *τινῶν ἐστὶν* H.; *τινῶν ἐστιν* St.

φανερῶς] *καρπὸν* i. u. add. St.

τούτων] *τούτου* St.

ἄλλων τε] *ἄλλων τὲ* U.

4. *ταύτας τε*] *ταύτας τὲ* U.

αὐτομάτους] *αὐτόματα* M$_2$.

ἃς καὶ] *ὡς καὶ* St.

Ἀναξαγόρας] cf. C. pl. 1, 5. 2. Varro r. r. 1, 40.

Κλειδημος] Schn. praeeunte Meurs. Theophr. p. 87; eundem esse qui aliis locis nominatur (C. pl. 1, 10, 3 ubi M *κλειδιμος*; 3, 23, 1, ubi M *κλειδιμος* U *κλήδημος*; 5, 9, 10) vix est quod dubitetur; apud Arist. Meteor. 2, 9 *κλειδημος* est. Hic *κλήδημος* sed prius *η* in correctione U; *κλήδαμος* M; *κλήδιμος* V; *κλεόδημος* Ald. H. St.; *Clidimus* G.

τοῖς ζώοις] *τὰ φυτὰ* add. H. et i. u. Sch., delevit in Syll.

τοῦ ζῶα εἶναι. λέγουσι δέ τινες καὶ ἄλλοι περὶ τῆς γενέσεως. ἀλλ' αὕτη 5.
μὲν ἀπηρτημένη πώς ἐστι τῆς αἰσθήσεως. ἄλλαι δὲ ὁμολογούμεναι καὶ
ἐμφανεῖς οἷον ὅταν ἔφοδος γένηται ποταμοῦ παρεκβάντος τὸ ῥεῖθρον ἢ καὶ
ὅλως ἑτέρωθι ποιησαμένου, καθάπερ ὁ Νέσος ἐν τῇ Ἀβδηρίτιδι πολλάκις
μεταβαίνει καὶ ἅμα τῇ μεταβάσει τοσαύτην ὕλην συγγεννᾷ τοῖς τόποις
ὥστε τῷ τρίτῳ ἔτει συνηρεφεῖν. καὶ πάλιν ὅταν ἐπομβρίαι κατάσχωσι
πλείω χρόνον· καὶ γὰρ ἐν ταύταις βλαστήσεις γίνονται φυτῶν. ἔοικε δὲ ἡ μὲν
τῶν ποταμῶν ἔφοδος ἐπάγειν σπέρματα καὶ καρποὺς, καὶ τοὺς ὀχετούς φασι
τὰ τῶν ποιωδῶν· ἡ δ' ἐπομβρία τοῦτο ποιεῖ ταὐτό· συγκαταφέρει γὰρ πολλὰ
τῶν σπερμάτων καὶ ἅμα σῆψίν τινα τῆς γῆς καὶ τοῦ ὕδατος· ἐπεὶ καὶ ἡ μίξις
αὐτὴ τῆς Αἰγυπτίας γῆς δοκεῖ τινα γεννᾶν ὕλην. ἐνιαχοῦ δὲ ἂν μόνον ὑπερ- 6.
γάσωνται καὶ κινήσωσιν εὐθὺς ἀναβλαστάνει τὰ οἰκεῖα τῆς χώρας ὥσπερ ἐν
Κρήτῃ κυπάριττοι. γίνεται δὲ παραπλήσιόν τι τούτῳ καὶ ἐν τοῖς ἐλάττοσιν·
ἅμα γὰρ κινουμένης ἀναβλαστάνει πόα τις ἐν ἑκάστοις. ἐν δὲ τοῖς ἡμιβρόχοις
ἐὰν ὑπονεάσῃς φαίνεσθαί φασι τρίβολον. αὗται μὲν οὖν ἐν τῇ μεταβολῇ τῆς
χώρας εἰσὶν, εἴτε καὶ ἐνυπαρχόντων σπερμάτων εἴτε καὶ αὐτῆς πως διατιθε-
μένης· ὅπερ ἴσως οὐκ ἄτοπον ἐγκατακλειομένων ἅμα τῶν ὑγρῶν· ἐνιαχοῦ δὲ
καὶ ὑδάτων ἐπιγινομένων ἰδιώτερον ἀνατεῖλαι ὕλης πλῆθος, ὥσπερ ἐν Κυρήνῃ

ζῶα] ζῶια U.

λέγουσι — γενέσεως] sic Codd, et Edd., sed *ἄλλοι* in U punctis suppositis damnatur; *ἄλλως* St. *Quin et alii quidam de generatione referunt* G. Vereor ne glossa haec sit, quae in contextum irrepserit. Quibus expulsis quod sequitur *αὕτη* intelligitur *ἡ ὑπὸ τῶν φυσιολόγων λεγομένη αὐτόματος γένεσις.*

ἀλλ' αὕτη] Ald. Sch. MV; *ἀλλᾶτη* cum correctione U; *ἀλλὰ ταῦτα* H. St. *Sed haec a sensu quodammodo remota esse videntur* G. — *ἀπηρτησμένη* V.

πώς ἐστι] utrumque sine accentu Sch.; *τῶς ἐστι* Ald.; *πῶς ἐστὶ* St.; *πως ἐστὶ* H.

5. *ὁμολογούμεναι*] — *ούμενα* H. St.

ἑτέρωθι] *ἕτερόν τι* cum RConst. St. Perperam; supple *τὸ ῥεῖθρον.*

Νέσος] U Ald.; *νέος* M; *neus* G.; *Νέσσος* H. St. Sch. Scribitur *Νέσος Νέσσος Νέστος Ναΐσσος* et *Mestus;* cf. Thucyd. ed. Poppo 1, 2 p. 334. In Arist. H. Anim. 6, 31 et 8, 38 *Νέσσος*, Meteor. 1, 13 *Νέστος* dedit Bekker.

Ἀβδηρίτιδι] PEdd. post H.; *αὐδηρίτιδι* Ald.

συγγεννᾷ] Edd.; *συγγενᾷ* Ald.; *συγγενναν* U.

συνηρεφεῖν] *συνερεφεῖν* St.

ἐπομβρίαι] Edd.; — *ριαις* Ald.; *ἐπομβρίαν* P.

πλείω] U Sch.; *πλεῖον* Ald. Edd.

τὰ τῶν ποιωδῶν] dedi de conj.; *τὴν τ. ποωδ.* M Ald.; *τὰ τῶν ποωδ. σπέρματα* H. St. Sch. e vers. G. *et aquaeductus herbaceorum semina praebere creduntur.* Quod G. subintelligens latine expressit editores male graecis adjecerunt. — *ποιωδῶν* U.

ἡ δ' ἐπομβρία τοῦτο ποιεῖ ταὐτὸ] sic restitui h. l. secundum codd. maxime; *ἡ δ' ἐπ. τοῦτο δ' ἂν ἐποίει ταὐτὸ* UMV, sed *δ' αὖ* in U punctis suppositis damnatum; *ἡ δ'. ἐπ. τοῦτ' αὐτὸ ἐποίει* Ald.; *ἡ δ. ἐπ. τοῦτ' αὐτὸ ποιεῖ* H. St. Sch.; *ἡ δ' αὖ ἐπ. ποιεῖ ταῦτὸ* Schn. in Syll.; *imbres autem cum hoc idem faciunt* G. An fuit *τοῦτο δοκεῖ ποιεῖν ταυτό?*

ὕδατος] *ποιεῖ* i. u. add. St.

ἐπεί] *ἐπάγει* conj. Sch. ductus versione Gazae. Non credo; sic enim quae sequuntur male copulata essent. Putredinem terrae et aquae conferre ad proventum plantarum eo probat, quod in Aegypto ipsa terrae mixtura vel sine seminibus plantas progignere creditur.

6. *ὑπεργάσωνται*] corr. Steph. in Thes. Sch.; *subegeris* G.; *ὑπερτάσωνται* Ald. Edd.

ἀναβλαστάνει] em. Sch.; — *άνειν* Ald. Edd.

ἐν τοῖς] UMV St. Sch.; *ἐν* om. Ald. H.

κινουμένης] U Sch. syll.; *κινουμένοις* Ald. H.; *κινουμένη* St.

ἑκάστοις] *in quaque regione. ἑκάστῃ* [*χώρᾳ*] St.

ὑπονεάσῃς] corr. St.; *ὑπονεάσῃ* Ald. H. Sch., qui *τις* suppleri vult, quod fieri nequit.

ἐνυπαρχόντων] UMVP Sch.; *ὑπαρχόντων* Ald. H. St.

εἴτε — πως] *εἴτε αὖ τῆς γῆς οὕτω πῶς* St.

πιττώδους τινὸς γενομένου καὶ παχέος· οὕτως γὰρ ἀνεβλάστησεν ἡ πλησίον ὕλη πρότερον οὐκ οὖσα. φασὶ δὲ καὶ τό γε σίλφιον οὐκ ὂν πρότερον ἐκ τοιαύτης τινὸς αἰτίας φανῆναι. τρόποι μὲν οὖν τοσοῦτοι τῶν τοιούτων γενέσεων.

3 H. 2 St. Cap. II. Πάντα δὲ κάρπιμα ἢ ἄκαρπα καὶ ἀείφυλλα ἢ φυλλοβόλα καὶ ἀνθοῦντα ἢ ἀνανθῆ· κοιναὶ γάρ τινες διαιρέσεις ἐπὶ πάντων εἰσὶν ὁμοίως ἡμέρων τε καὶ ἀγρίων. ἴδια δὲ πρὸς τὰ ἥμερα τῶν ἀγρίων ὀψικαρπία τε καὶ ἰσχὺς καὶ πολυκαρπία τῷ προφαίνειν· πεπαίνει τε γὰρ ὀψιαίτερον καὶ τὸ ὅλον ἀνθεῖ καὶ βλαστάνει ὡς ἐπὶ τὸ πᾶν· καὶ ἰσχυρότερα τῇ φύσει· καὶ προφαίνει μὲν πλείω καρπὸν ἐκπέττει δ' ἧττον, εἰ μὴ καὶ πάντα ἀλλά γε τὰ ὁμογενῆ οἷον ἐλάας καὶ ἀπίου κότινος καὶ ἀχράς. ἅπαντα γὰρ οὕτως, πλὴν εἴ τι σπάνιον ὥσπερ ἐπὶ τῶν κρανείων καὶ τῶν οὔων· ταῦτα γὰρ δή φασι πεπαίτερα καὶ ἡδύτερα τὰ ἄγρια τῶν ἡμέρων εἶναι· καὶ εἴ δή τι ἄλλο μὴ προσδέχεται γεωργίαν ἢ δένδρον ἢ καί τι τῶν ἐλαττόνων οἷον τὸ σίλφιον καὶ ἡ κάππαρις καὶ τῶν χεδροπῶν ὁ
2 θέρμος ἃ καὶ μάλιστ' ἄν τις ἄγρια τὴν φύσιν εἴποι. τὸ γὰρ μὴ προσδεχόμενον ἡμέρωσιν ὥσπερ ἐν τοῖς ζώοις τοῦτο ἄγριον τῇ φύσει. καίτοι φησὶν Ἵππων ἅπαν καὶ ἥμερον καὶ ἄγριον εἶναι, καὶ θεραπευόμενον μὲν ἥμερον μὴ θεραπευόμενον δὲ ἄγριον, τῇ μὲν ὀρθῶς λέγων τῇ δὲ οὐκ ὀρθῶς. ἐξαμελούμενον γὰρ ἅπαν χεῖρον γίνεται καὶ ἀπαγριοῦται· θεραπευόμενον δὲ οὐχ ἅπαν βέλτιον ὥσπερ εἴρηται· ὃ δὴ χωριστέον καὶ τὰ μὲν ἄγρια τὰ δ' ἥμερα λεκτέον, ὥσπερ

παχέος] Ald. PP$_2$ Sch.; *παχέως* Cam. H. St.

οὕτως γὰρ] UMV; *οὕτω γ.* Ald. H. Sch. P; *οὕτω γὰρ* St. dedit *ὄμβρου*.

τό γε σιλ.] UP Sch. syll.; *τῶ σιλφ.* M$_3$; *τω το σιλφ.* V; *τὸ σιλφ.* M 22, Ald. Edd.

οὖν] *οὐ οἷον* H., unde St. *οὖν οἷον*.

τοσοῦτοι] dedi de conj.; *τοιοῦτοι* Ald. Edd. o. Schn. in Comm. *τοιοῦτοι τῶν γεν.* vel *οὗτοι καὶ τοσοῦτοι τ. γ.* scribi mavult. Verte: *tot igitur sunt modi generationis spontaneae.*

Cap. II.

ἀείφυλλα] Vo H. St. Sch.; *ἄφυλλα* UMV Ald.

τινες] *αὗται* add. St.

ὀψικαρπία] *ὀψὶ καρπιὰ* M.

τῷ προφαίνειν] *καὶ* anteposuit St. *copiosa fructificatio, prima species silvestria* G., quae omnino aliena. *Viele Früchte tragen, die aber mehr zum Schein sind* Spr. Sensus a sequentibus illustratur: *multos quidem edunt fructus sed non perficiunt ad maturitatem.*

ὀψιαίτερον] M Ald. Sch.; *ὀψαίτερον* H. St. — Post h. v. *τὰ ἄγρια* i. u. addit St.

βλαστάνει] *ὀψιαίτερον* i. u. addidit Schn. cum G.; *βλαστάνει ὀψιαίτερον ὡς ἰσχυρ.* St.

ὡς ἐπὶ] Ald. H. Sch.; *ὥσπερ* M.

εἰ μὴ καὶ πάντα ἀλλά γε τὰ ὁμογενῆ] dedi de corr.; *εἰ μὴ καὶ πάντα τὰ ἀλλὰ καὶ τὰ ὁμοιογενῆ* UMV Ald H., in U ultimum *ῆ* in rasura. St. delevit *τὰ* ante *ἀλλὰ*. Schn. edidit: *εἰ μὴ καὶ πάντα ἀλλὰ τὰ γ' ὁμογενῆ*. RConst. conj. *εἰ μὴ καὶ πάντα ἀλλὰ τὰ ὁμοιογενῆ*. In lectione librorum *τὰ* ante *ἄλλα* e fine vocis *πάντα* repetitum videtur.

οἷον] Post h. v. *ἧττον* add. H. et Sch. e vers. G., quo minime opus est. Temere ut solet St. *οἷον κότινος ἧττον ἐλαίας καὶ ἀχρὰς ἀπίου.*

ἐλάας] U; *ἐλαίας* Ald. Edd.

κρανείων] *κρανίων* P$_2$ Ald. Edd. praeter St. Cf. ad 1, 6, 1.

οὔων] P$_2$ Ald. Edd.; *ὄων* scribere jubet Bod. ut atticum auctore Galeno de alim. f. l. 2. c. 25; at is veteres atticos ita locutos esse asserit.

ἡδύτερα] „sic quoque U sed in correctione.“ Amati.

ἄλλο] *ὃ* add. St. — *προσδέχηται* P.

γεωργίαν] U St. Sch.; *γεωργίας* Ald. H.

κάππαρις] Vide ad 1, 3, 6.

2. *ζώοις*] *ζώιοις* U.

καὶ ἥμερον καὶ ἄγριον] UMV et Sch. sed priore *καὶ* uncis secluso. *ἄγριον καὶ ἥμερον* Ald. Edd.

καὶ θεραπ.] *καὶ* om. St.

γὰρ ἅπ.] UMV; *μὲν γὰρ ἅπ.* Ald. Edd. o.

ὃ δὴ χωρ.] Ald. Edd.; *διὸ* Schn. e vers. G. *quapropter.*

τῶν ζώων τὰ συνανθρωπευόμενα καὶ τὰ δεχόμενα τιθασείαν. ἀλλὰ τοῦτο μὲν 3.
οὐδὲν ἴσως διαφέρει ποτέρως ῥητέον. ἅπαν δὲ τὸ ἐξαγριούμενον τοῖς τε καρποῖς χεῖρον γίνεται καὶ αὐτὸ βραχύτερον καὶ φύλλοις καὶ κλωσὶ καὶ φλοιῷ καὶ τῇ ὅλῃ μορφῇ· καὶ γὰρ πυκνότερα καὶ οὐλότερα καὶ σκληρότερα καὶ ταῦτα καὶ ὅλη ἡ φύσις γίνεται ὡς ἐν τούτοις μάλιστα τῆς διαφορᾶς τῶν ἡμέρων καὶ τῶν ἀγρίων γινομένης. διὸ καὶ ὅσα τῶν ἡμερουμένων τοιαῦτα τυγχάνει ταῦτα ἄγριά φασιν εἶναι καθάπερ τὴν πεύκην καὶ τὴν κυπάριττον ἢ ὅλως ἢ τὴν ἄρρενα καὶ τὴν καρύαν δὲ καὶ τὴν διοσβάλανον. ἔτι τε τῷ φιλόψυχρα καὶ ὀρεινὰ μᾶλ- 4
λον εἶναι· καὶ γὰρ τοῦτο λαμβάνεται πρὸς τὴν ἀγριότητα τῶν δένδρων καὶ ὅλως τῶν φυτῶν εἴτ' οὖν καθ' αὑτὸ λαμβανόμενον εἴτε κατὰ συμβεβηκός. ὁ μὲν οὖν τῶν ἀγρίων ἀφορισμὸς εἴθ' οὕτως ἢ καὶ ἄλλως ληπτέος, οὐδὲν ἂν ἴσως διενέγκοι πρὸς τὰ νῦν· ἐκεῖνο δὲ ἀληθὲς ὡς γε τῷ τύπῳ καὶ ἁπλῶς εἰπεῖν ὅτι μᾶλλον ὀρεινὰ τὰ ἄγρια καὶ εὐθενεῖ τὰ πλείω καὶ μᾶλλον ἐν τούτοις τοῖς τόποις, ἐὰν μή τις λαμβάνῃ τὰ φιλυδρα καὶ παραποτάμια καὶ ἀλσώδη. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα τυγχάνει πεδεινὰ μᾶλλον. οὐ μὴν ἀλλ' ἔν γε τοῖς μεγάλοις 5.
ὄρεσιν, οἷον Παρνησῷ τε καὶ Κυλλήνῃ καὶ Ὀλύμπῳ τῷ Πιερικῷ τε καὶ τῷ Μυσίῳ καὶ εἴ που τοιοῦτον ἕτερον, ἅπαντα φύεται διὰ τὴν πολυειδίαν τῶν τόπων· ἔχουσι γὰρ καὶ λιμνώδεις καὶ ἐνύγρους καὶ ξηροὺς καὶ γεώδεις καὶ πετρώδεις καὶ τοὺς ἀνὰ μέσον λειμῶνας καὶ σχεδὸν ὅσαι διαφοραὶ τῆς γῆς· ἔτι δὲ τοὺς μὲν κοίλους καὶ εὐδιεινοὺς τοὺς δὲ μετεώρους καὶ προσηνέμους· ὥστε

δεχόμενα] Ante h. v. *μὴ* add. St.

τιθασείαν] Haud sine cunctatione dedi hanc vocem, a *τιθασεύω* conformatam ut *θεραπεία* a *θεραπεύω*, quae in Lexicis non exstat. *τιθάσιον* UM Ald.; *τιθάσευσιν* Sch.; *τιθάσσιον* H., *τιθασσίαν* St. Quod Stephanus suspicabatur *τιθάσιον* dictum esse pro *τὸ τίθασον* statui nequit cum articulus absit.

ποτέρως] Ald. Edd.; *πότερον* M.

3. *αὐτὸ*] U Ald. H. St. Sch.syll.; *αὐτοῦ* corr. Scal., Sch.cont.

φλοιῷ] Ald. Edd.; *φλοιοῖς* M Sch.

οὐλότερα] dedi de conj.; *ὀρθότερα* Ald. H. St.; *σχολιώτερα* e Bod. conj. Sch.; *ἀπορθότερα* conj. RConst. — *καὶ* ante *ταῦτα* om. St. — C. pl. 6, 11, 8 *ἡ πυκνότης καὶ ἡ οὐλότης γίνεται τῶν ξύλων.*

τὴν ἄρρενα] UMV Sch.; *τὰ ἄρρενα* Ald. Edd.

καρύαν] P H. St. Sch.; *καρίαν* Ald.

4. *ἔτι τε*] UMV; *ἔτι δὲ* Ald. Edd. Verbum *διαφέρει*, quod Sch. desiderabat, repetendum e vv. *τῆς διαφορᾶς γινομένης.*

εἶναι] *τὰ ἄγρια* i. u. add. St.

ὁ μὲν οὖν] U St. Sch.; *οὖν* om. Ald. H.

ἢ καὶ ἄλλως] UMV Sch.syll.; *εἴτε καὶ ἀλλ.* Ald. H. St. Sch.cont.

ληπτέος] P; *ληπτέον* Ald. Edd. o.

διενέγκοι] corr. Sch.; *διενέγκη* Ald. Edd. — *ταυῦν* St.

εὐθενεῖ] P Sch. in Syll.; *εὐθηνεῖ* Ald. Edd. o.

καὶ μᾶλλον] U Sch.syll.; *καὶ* om. Ald. Edd. o.; utrumque om. P.

ὡς γε — εἰπεῖν] sic corr. Sch. in Syll.; *ὥστε τῷ τύπῳ καὶ ἁπλῶς εἰπεῖν* UM; *ὡς ἐν τύπῳ καὶ ἁπλῶς γε εἰπεῖν* Ald. H. St. Sch.

πλείω καὶ μ.] U Sch.syll.; *καὶ* om. Ald. Edd.; *πλείω τούτων μᾶλ.* St.

ἀλσώδη] Ald. St. Sch.; *ἀσώδη* H.

πεδεινά] *πεδεινὰ*, *ει* in rasura scriptum U; *πεδινὰ* Ald. Edd. o. Ubique in Theophrasto *πεδεινὸς* cum diphthongo exhibui, quam formam cod. U tueri videtur. Duobus locis C. pl. 3, 6, 6 et 3, 7, 2 clare id scriptum dat, ceteris qui sunt octo vel *πεδιεινὸς* vel *πεδινὸς* sed hoc semper in correctione vel rasura. H. 1, 8, 1, ubi Ald. *πεδινῶν* habet, ex U nihil adnotatum est, P2 *πετοινῶν* formae a nobis receptae favet.

5. *οὐ μὴν*] *οὐ μὲν* H. St.

οἷον] Post h. v. H. St. temere addunt *τὰ ἐν. Παρνησῷ*] *Παρνήσῳ* M.

Κυλλήνῃ] Ald. Edd.; *κυρήνῃ* UMV; *cyrena* G. — Dein *πισερικῷ* P.

γὰρ καὶ] U Sch.syll.: *καὶ* om. cett.

πετρώδεις] mB. Edd.; *πισερώδεις* P; *περιώδεις* Ald.

εὐδιεινοὺς] Ald. H. Sch.; *εὐδεινους* U; *εὐδενοὺς* M: *εὐδιαινοὺς* St

6. δύνασθαι παντοῖα καὶ τὰ ἐν τοῖς πεδίοις φέρειν. οὐδὲν δ' ἄτοπον οὐδ' εἰ ἔνια μὴ οὕτω πάμφορα τῶν ὀρῶν ἀλλ' ἰδιωτέρας τινὸς ὕλης ἢ πάσης ἢ τῆς πλείστης, οἷον ἐν τῇ Κρήτῃ τὰ Ἰδαῖα· κυπάριττος γὰρ ἐκεῖ· καὶ τὰ περὶ Κιλικίαν καὶ Συρίαν ἐν οἷς κέδρος· ἐνιαχοῦ δὲ τῆς Συρίας τέρμινθος. αἱ γὰρ διαφοραὶ τῆς χώρας τὴν ἰδιότητα ποιοῦσιν. ἀλλ' εἴρηται τὸ ἴδιον ὡς ἐπὶ πᾶν.

4 H. 3 St. ΚΕΦ. III. Ἴδια δὲ τὰ τοιάδε τῶν ὀρεινῶν, ἃ ἐν τοῖς πεδίοις οὐ φύεται, περὶ τὴν Μακεδονίαν ἐλάτη πεύκη πίτυς ἀγρία φλυρα ζυγία φηγὸς πύξος ἀνδράχλη μίλος ἄρκευθος τέρμινθος ἐρινεὸς φιλύκη ἀφάρκη καρύα διοσβάλανος πρῖνος. τὰ δὲ καὶ ἐν τοῖς πεδίοις μυρίκη πτελέα λεύκη ἰτέα αἴγειρος κρανεία θηλυκρανεία κλήθρα ὀρῦς λακάρη ἀχρὰς μηλέα ὀστρύα κήλαστρον μελία παλίουρος ὀξυάκανθος σφένδαμνος, ἣν ἐν μὲν τῷ ὄρει πεφυκυῖαν ζυγίαν καλοῦσιν, ἐν δὲ τῷ πεδίῳ γλεῖνον. οἱ δ' ἄλλως διαιροῦσι καὶ ἕτερον ποιοῦσιν εἶδος σφενδάμνου καὶ ζυγίας. 2. ἅπαντα δὲ ὅσα κοινὰ τῶν ὀρῶν καὶ τῶν πεδίων, μείζω μὲν καὶ καλλίω τῇ ὄψει τὰ ἐν τοῖς πεδίοις γίνεται, κρείττω δὲ τῇ χρείᾳ τῇ τε τῶν ξύλων καὶ τῇ τῶν καρπῶν τὰ ὀρεινά· πλὴν ἀχράδος καὶ ἀπίου καὶ μηλέας· αὗται δ' ἐν τοῖς πεδίοις κρείττους οὐ μόνον τοῖς καρποῖς ἀλλὰ καὶ τοῖς ξύλοις·

φέρειν] *φέρον* Cam.

6. *οὐδὲν δ' ἄτ.*] UMV Ald. Sch. (*δὲ* cont. *δ'* syll.): *tamen* G.; *ὀ. καὶ ἄτ.* Cam.; *ὀ. γὰρ ἄτ.* H. St.

τινὸς — πλείστης] *τινὰς ὕλας ἢ πᾶσιν ἢ τοῖς πλείστοις* [*τῶν ὀρέων*] St.

ἐν — τὰ Ἰδαῖα] dedi de conj. Sch., qui ab init. *τὰ ἐν* dedit; *τὰ ἐν κρήτῃ τῇ Ἰδαίᾳ* Ald. et U qui *Ἰδαίαι*; *in Creta insula circa agrum idaeum* G.; *ὄρη* intra u. add. St.

γὰρ ἐκεῖ] UMVP Ald. Sch. St.; *enim ibi* G.; *καὶ ἐκεῖ* Cam. Heins.

καὶ τὰ] corr. Sch.; *καὶ γὰρ* Ald. H.; *γὰρ* om. St.; *et in Cilicia Syriaque cedrus* G.

ΚΕΦ. III.

περὶ τὴν Μακ.] dedi de corr.; *περί τε M.* P$_2$ Ald. Edd.; *τε* u. seclusit Sch., om. P St.

πίτυς ἀγρία] *abies pinastrum* G. Cf. 1, 9, 3. *πίτις ἀ.* P$_2$.

φίλυρα] P$_2$ Ald. Sch.syll.; *φιλύρα* Sch. cont.

φηγὸς] em. Scal. RConst. Edd.; *πηγὸς* UP$_2$; *π γ* V; *π γος* M; *πυγὸς* Ald.; *fagus* G. Bas. sed in Tarvis. omissum. Cf. 5, 1, 2.

ἀνδράχλη] Vide ad 1. 5, 2. *ἀνδράχνη* P$_2$ P Ald. Edd. — *μίλος* om. P$_2$.

τέρμινθος] *τράμινθος* P$_2$.

ἐρινεὸς] Meurs. Theophr. p. 87 e Macrob. Sat. 2, 14 *πρῖνος* substituere jubet. — *ἐρινὸς* P$_2$.

διοσβάλανος] *διὸς βάλανος* Ald. Edd.; *διὸς β.* cum lacuna P$_2$.

πρῖνος] P$_2$ St. Sch.; *πρίνος* Ald. H.

κρανεία] Ald. Edd.; *κρανία* P$_2$, sed idem deinceps *θηλυκρανεία*.

λακάρη] MVP$_2$ Sch.; *lacara* G.; *λακάθη* Ald. H. St. Verba *αἴγειρος* et *θηλυκρανεία* G. non expressit.

ὀστρύα] *ὀστρία* P$_2$.

κήλαστρον] UMPP$_2$; *celastrus* G.; *κύλαστρον* Ald. H.

ὀξυάκανθος σφένδαμνος] corr. Sch. Vocem *σφένδαμνος* in libris omissam supplendam esse propter sequentia docuit Palmer. Ex. p. 587. *ὀξυάκαρτα ἄκανθος* UP Ald. Bas. *παλίουρος, ἄκανθος, ἣν* P$_2$; *ὀξυάκανθα ἄκανθος* Cam. H. In Vo. *ὀξυάκανθος* scriptum est. *spina acuta acer* G. — Verba *πεφ υκ.* — *γλεῖνον* in U addita a sec. m.

γλεῖνον] P$_2$ Ald. Edd.; *γλῖνον* P.

οἱ] *οἳ* P$_2$ Ald.

δ' ἄλλως δι.] dedi cum Sch. in Syll. et G. *quanquam alii aliter distinguant.* *δ' ὡς δι.* UMVP$_2$; *δ' αὖ δι.* Ald. Edd. o.

2. *τὰ ἐν τοῖς*] *ἃ ἐν τοῖς* St.

τῇ χρείᾳ] UMVP Sch.; om. Ald.; *τῇ χρήσει* H. St.; *τῇ χρείᾳ δὲ κρείττω* P$_2$.

τῇ τῶν] UP$_2$; *τῇ* om. Ald. Edd.

ἀχράδος μηλέας] P$_2$P Ald.; *ἀχράδος καὶ* seclusit Sch.; om. G.; *ἀπίου* damnatum in mBod. om. St.

ἐν τοῖς πεδίοις] U Sch.syll.; *ἐν τοῖς πεδεινοῖς* Ald. Edd.

μόνον τοῖς] H. St. Sch.; *μόνον ἐν τοῖς* Ald.

ἐν γὰρ τοῖς ὄρεσι μικραὶ καὶ ὀζώδεις καὶ ἀκανθώδεις γίνονται· πάντα δὲ καὶ ἐν τοῖς ὄρεσιν ὅταν ἐπιλάβωνται τῶν οἰκείων τόπων καὶ καλλίω φύεται καὶ εὐθενεῖ μᾶλλον· ὡς δὲ ἁπλῶς εἰπεῖν τὰ ἐν τοῖς ὁμαλέσι τῶν ὀρῶν καὶ μάλιστα, τῶν δὲ ἄλλων τὰ ἐν τοῖς κάτω καὶ κοίλοις· τὰ δ' ἐπὶ τῶν ἄκρων χείριστα, πλὴν εἴ τι τῇ φύσει φιλόψυχρον· ἔχει δὲ καὶ ταῦτ' αὖ τινα διαφορὰν ἐν τοῖς ἀνο- 3.
μοίοις τῶν τόπων ὑπὲρ ὧν ὕστερον λεκτέον· νῦν δὲ διαιρετέον ἕκαστον κατὰ τὰς διαφορὰς τὰς εἰρημένας. ἀείφυλλα μὲν οὖν ἐστι τῶν ἀγρίων ἃ καὶ πρότερον ἐλέχθη ἐλάτη πεύκη πίτυς ἀγρία πύξος ἀνδράχλη μίλος ἄρκευθος τέρμινθος φιλύκη ἀφάρκη δάφνη φελλόδρυς κήλαστρον ὀξυάκανθος πρῖνος μυρίκη· τὰ δὲ ἄλλα πάντα φυλλοβολεῖ· πλὴν εἴ τι περιττὸν ἐνιαχοῦ, καθάπερ ἐλέχθη περὶ τῆς ἐν τῇ Κρήτῃ πλατάνου καὶ ὀρυὸς καὶ εἴ που τόπος τις ὅλως εὔτροφος. κάρπιμα δὲ τὰ μὲν ἄλλα πάντα· περὶ δὲ ἰτέας καὶ αἰγείρου καὶ πτελέας ὥςπερ 4.
ἐλέχθη διαμφισβητοῦσιν. ἔνιοι δὲ τὴν αἴγειρον μόνην ἀκαρπεῖν φασιν ὥςπερ καὶ 5. H.
οἱ ἐν Ἀρκαδίᾳ, τὰ δὲ ἄλλα πάντα τὰ ἐν τοῖς ὄρεσι καρποφορεῖν. ἐν Κρήτῃ δὲ καὶ αἴγειροι κάρπιμοι πλείους εἰσί· μία μὲν ἐν τῷ στομίῳ τοῦ ἄντρου τοῦ ἐν τῇ Ἴδῃ, ἐν ᾧ τὰ ἀναθήματα ἀνάκειται, ἄλλη δὲ μικρὰ πλησίον· ἀπωτέρω δὲ μάλιστα δώδεκα σταδίους περί τινα κρήνην Σαύρου καλουμένην πολλαί. εἰσὶ δὲ καὶ ἐν τῷ πλησίον ὄρει τῆς Ἴδης ἐν τῷ Κινδρίῳ καλουμένῳ καὶ περὶ Πραισίαν δὲ ἐν τοῖς ὄρεσιν. οἱ δὲ μόνον τῶν τοιούτων τὴν πτελέαν κάρπιμον εἶναί φασι, καθάπερ οἱ περὶ Μακεδονίαν. μεγάλη δὲ διαφορὰ πρὸς καρπὸν καὶ ἀκαρπίαν 5.
καὶ ἡ τῶν τόπων φύσις, ὥςπερ ἐπί τε τῆς περσέας ἔχει καὶ τῶν φοινίκων· ἡ μὲν ἐν Αἰγύπτῳ καρποφορεῖ καὶ εἴ που τῶν πλησίον τόπων, ἐν Ῥόδῳ δὲ μέχρι

καὶ ὀζ.] U Sch.syll.; *καὶ* om. Ald. Edd.

ἐν τοῖς] *καὶ τὰ ἐν τ.* conj. Schn.

εὐθενεῖ] U, superscripto *εὐθηνεῖ*, quod Ald. Edd. exhibent.

τὰ ἐν τοῖς — κοίλοις] inter *τὰ* et *ἐν* bis i. u. inseruit *μὲν* Sch.

τῶν] ante *ἄκρων* om. St.

3. *ταῦτ' αὖ τινα*] dedi de conj.; *ταῦτα αὐτῶν* Ald. H. Sch; *ταῦτα τοιαύτην* St. Schn. malebat *τὰ τοιαῦτα* vel *ταῦτα τὴν αὐτὴν*. Cf. 4, 1, 3.

ὑπὲρ ὧν] U Sch.; *ὑ. ὥ* M; *ὑ. οὗ* Ald. Edd.

ἐλάτη] UMVP St. Sch.; om. Ald. H.

ἀνδράχλη] U scripto $\overline{\nu}$ super $\overline{\lambda}$; *ἀνδράχνη* Ald. Edd. o.

φελλόδρυς] corr. Bod. ex 1, 9, 3 St. Sch.; *φελλὸς δρῦς* U (MV?) Ald.; *φελλὸς δρῦς* H.

κήλαστρον] Ald. H. Sch.; *κήλαστρος* UP St.; *κύλαστρος* M.

ὀξυάκανθος] *ὀξυάκανθα* St.

πρῖνος] *πρίνος* Ald. H.

τῇ Κρ.] UMV Sch.syll.; *τῇ* om. Ald. Edd.

δρυὸς] Ex 1, 9, 3 R Const. et Meurs. Theophr. p. 87 addi volunt *ἐν Συβάρει*, quod Sch. i. u. inseruit. Sed debebat *τῆς ἐν Συβάρει δρυὸς* scribere.

ὅλως] UP Ald.; *ὅλος* Cam. Sch. cont.

4. *ἔνιοι δὲ*] UMV Sch.; *δὲ* om. Ald. Edd.

οἱ ἐν Ἀ.] *αἱ ἐν Ἀ.* St.

τοῦ ἐν τῇ Ἴδῃ] Sch.; *τοῦ ἐν τῷ Ἴδῃ* U; *τοῦ ἐν τῷ Ἴδης* MV; *ἐν τῇ Ἴδῃ*, omisso *τοῦ*, Ald. H. St.

Κινδρίῳ] UMV Sch.syll.; *κιδρίῳ* Ald. Edd.

Πραισίαν] corr. Meurs. Creta p. 107; *τιρασίαν* UMV Ald.; *Τιρσίαν* H. St.; *Τειρεσίαν* Sch. Sed in Syll. ex Urb. *Ταρασίαν* jubet reponere.

μόνον] UMVP; *μόνην* Ald. Edd.

οἱ περὶ Μ.] *αἱ περὶ Μ.* St.

5. *περσέας*] de conj. R Const. St.; *περσείας* U; *περσίας* Ald. Sch.; *persica* G. Videtur eadem esse haec arbor et illa, quae 4, 2, 5 describitur, ubi omnes *περσέα* habent. *πέρσιον*, quod est 2, 2, 10, fortasse fructum vocari, interpretes animadverterunt.

καὶ τῶν] *καὶ ἐπὶ τῶν* St.

πλησίον] UP Sch.; *πλησίων* Ald. Edd.

τοῦ ἀνθεῖν μόνον ἀφικνεῖται. ὁ δὲ φοῖνιξ περὶ μὲν Βαβυλῶνα θαυμαστὸς, ἐν τῇ Ἑλλάδι δὲ οὐδὲ πεπαίνει, παρ' ἐνίοις δὲ ὅλως οὐδὲ προφαίνει καρπόν.
6. ὁμοίως δὲ καὶ ἕτερα πλείω τοιαῦτ' ἐστίν· ἐπεὶ καὶ τῶν ἐλαττόνων ποαρίων καὶ ὑλημάτων ἐν τῇ αὐτῇ χώρᾳ καὶ συνόρῳ χώρᾳ τὰ μὲν κάρπιμα τὰ δ' ἄκαρπα γίνεται· καθάπερ καὶ τὸ κενταύριον ἐν τῇ Ἠλείᾳ, τὸ μὲν ἐν τῇ ὀρεινῇ κάρπιμον τὸ δ' ἐν τῷ πεδίῳ ἄκαρπον ἀλλὰ μόνον ἀνθεῖ, τὸ δ' ἐν τοῖς κοίλοις τόποις οὐδ' ἀνθεῖ πλὴν κακῶς. δοκεῖ δ' οὖν καὶ τῶν ἄλλων τῶν ὁμογενῶν καὶ ἐν μιᾷ προσηγορίᾳ τὸ μὲν ἄκαρπον εἶναι τὸ δὲ κάρπιμον, οἷον πρῖνος ὁ μὲν κάρπιμος
7. 6 H. 4 St. ὁ δ' ἄκαρπος· καὶ κλήθρα δὲ ὡσαύτως· ἀνθεῖ δ' ἄμφω. σχεδὸν δὲ ὅσα καλοῦσιν ἄρρενα τῶν ὁμογενῶν ἄκαρπα· τούτων τὰ πολλὰ τὰ μὲν ἀνθεῖν φασι τὰ δ' ὀλίγον τὰ δ' ὅλως οὐδ' ἀνθεῖν· τὰ δὲ ἀνάπαλιν, τὰ μὲν ἄρρενα μόνα καρποφορεῖν, οὐ μὴν ἀλλ' ἀπό γε τῶν ἀνθῶν φύεσθαι τὰ δένδρα, καθάπερ καὶ ἀπὸ τῶν καρπῶν ὅσα κάρπιμα· καὶ ἐν ἀμφοῖν οὕτως ἐνίοτε πυκνὴν εἶναι τὴν ἔκφυσιν
8. ὥστε τοὺς ὀρεοτύπους οὐ δύνασθαι διϊέναι μὴ ὁδοποιησαμένους. ἀμφισβητεῖται δὲ καὶ περὶ τῶν ἀνθῶν ἐνίων ὥσπερ εἴπομεν. οἱ μὲν γὰρ καὶ ὁρῦν ἀνθεῖν οἴονται καὶ τὴν ἡρακλεῶτιν καρύαν καὶ διοσβάλανον ἔτι δὲ πεύκην καὶ πίτυν· οἱ δ' οὐδὲν τούτων ἀλλὰ τὸν ἴουλον τὸν ἐν ταῖς καρύαις καὶ τὸ βρύον τὸ δρύϊνον καὶ τὸν κύτταρον τὸν πιτύϊνον ὅμοιον καὶ ἀνάλογον εἶναι τοῖς προαποπτώτοις ἐρινοῖς. οἱ δὲ περὶ Μακεδονίαν οὐδὲ ταῦτά φασιν ἀνθεῖν ἄρχευθον ὀξύην ἀρίαν σφένδαμνον. ἔνιοι δὲ τὰς ἀρχεύθους δύο εἶναι καὶ τὴν μὲν ἑτέραν ἀνθεῖν μὲν ἄκαρπον δ' εἶναι, τὴν δὲ ἑτέραν οὐκ ἀνθεῖν μὲν καρπὸν δὲ φέ-

'Ρόδῳ] RConst. H. St. Sch.; „in Rhodo Gaza" mBas.; ῥόα Ald.

φοῖνιξ] φοίνιξ Ald.

θαυμαστὸς] U Ald. Sch.; θαυμαστῶς H. St.

οὐδὲ προφ.] οὐδένα προφ. St.

6. ἐπεὶ καὶ] corr. Sch.; ἐπεὶ δὲ καὶ Ald. H.; ἔτι δὲ καὶ St.; *nam et inter minora* G.

ποαρίων] H. St. Sch.; *minora herbarum* G.; παρίων UMV Ald.; ποωδῶν conj. Scal.

ἐν τῇ — συνόρῳ χώρᾳ] Ald. H. Sch.; ἐν τῇ αὐ. ἡ καὶ συν. χ. St.

κενταύριον] Ps Ald. Edd.; κενταύρειον P.

τὸ δ' ἐν τοῖς] MV Sch.; τὰ δ' ἐν τοῖς Ald. H. St.

πρῖνος] St. Sch.; πρῖνος U; πρίνος Ald. H.

7. σχεδὸν δὲ — ἀνάπαλιν] ita dedi cum Ald., sed οὐδ' pro οὐκ ex U scripsi; δὲ superscr. in M; mutato ordine ἄκαρπα τὰ πολλὰ· τούτων τὰ μὲν — dein οἱ δ' ἀναπ. scripsit Sch.; ὁμογενῶν τούτων τὰ πολλὰ ἄκαρπά ἐστι· καὶ τὰ μὲν St.; *fere autem omnes quas — masculas vocant, steriles magna ex parte videntur, earumque alias abunde florere — affirmant. Contra inter alias mares tantum fructificare putantur* G. Vitium quod hic subest nondum tollere contigit.

ἐνίοτε] U Ald.; ἐνιότε Sch.

οὐ δυν.] UMV Sch.syll.; μὴ δυν. Ald. Edd.

8. ἀμφισβητεῖται] U H. St. Sch.; ἀμφισβητεῖ Ald.

ἡρακλεῶτιν] ἡρακλεωτικὴν St.

δρύϊνον] P Edd. post H.; δρῦϊον Ald.

ὅμοιον] sic correxi; ὁμοίαν U Ald. H.; ὅμοια καὶ ἀνάλογα St.; ὅμοια καὶ ἀνάλογον Sch.

προαποπτώτοις] corr. Sch.syll. ex U, etsi in Auctar. et Append. nihil de hac scriptura monuit; προαπτώτοις MV Ald.; προπτώτοις H. St. Sch.

ἐρινοῖς] St.; ἐρινεοῖς Ald.; ἐρίνοις Sch.

ὀξύην] H. St. Sch.; ὀξύνην MV Ald.

ἀρίαν] dedi de conj. Schneideri. ὀξύην ἀγρίαν H. Sch. quae discernenda esse ut duarum arborum nomina praecepit Palmer. Ex. p. 588. ὀξύνην· ἀγρίαν σφ. Ald. St. Cf. c. 10 in. — σφένδαμνον Ald., corr. a Bas.

τὰς ἀρχ.] τὰς σαρχεύθους U.

τὴν μὲν ἑτέραν] UMV Ald. Sch.; μὲν om. H. St.

ρειν εὐθὺς προφαινόμενον, ὥσπερ καὶ τὰς συκᾶς τὰ ἐρινά. συμβαίνει δ' οὖν ὥστε ἐπὶ δύο ἔτη τὸν καρπὸν ἔχειν μόνον τοῦτο τῶν δένδρων. ταῦτα μὲν οὖν ἐπισκεπτέον.

Cap. IV. Ἡ δὲ βλάστησις τῶν μὲν ἅμα γίνεται καὶ τῶν ἡμέρων τῶν δὲ μικρὸν ἐπιλειπομένη τῶν δ' ἤδη πλέον, ἁπάντων δὲ κατὰ τὴν ἠρινὴν ὥραν. ἀλλὰ τῶν καρπῶν ἡ παραλλαγὴ πλείων· ὥσπερ δὲ καὶ πρότερον εἴπομεν, οὐ κατὰ τὰς βλαστήσεις αἱ πεπάνσεις ἀλλὰ πολὺ διαφέρουσιν· ἐπεὶ καὶ τῶν ὀψικαρποτέρων, ἃ δή τινές φασιν ἐνιαυτοφορεῖν, οἷον ἄρκευθον καὶ πρῖνον, ὅμως αἱ βλαστήσεις τοῦ ἦρος. αὐτὰ δ' αὑτῶν τὰ ὁμογενῆ τῷ πρότερον καὶ ὕστερον διαφέρει κατὰ τοὺς τόπους· πρῶτα μὲν γὰρ βλαστάνει τὰ ἐν τοῖς ἕλεσιν, ὡς οἱ περὶ Μακεδονίαν λέγουσι, δεύτερα δὲ τὰ ἐν τοῖς πεδίοις, ἔσχατα δὲ τὰ ἐν τοῖς ὄρεσιν. αὐτῶν δὲ τῶν καθ' ἕκαστα δένδρων τὰ μὲν συναναβλαστάνει τοῖς 2.
ἡμέροις οἷον ἀνδράχλη ἀφάρκη· ἀχρὰς δὲ μικρῷ ὕστερον τῆς ἀπίου. τὰ δὲ καὶ πρὸ ζεφύρου καὶ μετὰ πνοὰς εὐθὺς ζεφύρου. καὶ πρὸ ζεφύρου μὲν χρανεία καὶ θηλυχρανεία, μετὰ ζέφυρον δὲ δάφνη κλήθρα, πρὸ ἰσημερίας δὲ μικρὸν φίλυρα ζυγία φηγὸς συκῆ· πρωΐβλαστα δὲ καὶ καρύα καὶ ὀρῦς καὶ ἀκτέος· ἔτι δὲ μᾶλλον τὰ ἄκαρπα δοκοῦντα καὶ ἀλσώδη, λεύκη πτελέα ἰτέα αἴγειρος· πλάτανος δὲ μικρῷ ὀψιαίτερον τούτων. τὰ δὲ ἄλλα ὥσπερ ἐνισταμένου τοῦ ἦρος, οἷον ἐρινεὸς φιλύκη ὀξυάκανθος παλίουρος τέρμινθος καρύα διοσβάλανος· μηλέα δ' ὀψίβλαστος· ὀψιβλαστότατον δὲ σχεδὸν ἴψος ἀρία τετραγωνία θύεια μίλος. αἱ μὲν οὖν βλαστήσεις οὕτως ἔχουσιν. αἱ δὲ ἀνθήσεις ἀκολουθοῦσι μὲν ὡς 3.
εἰπεῖν κατὰ λόγον, οὐ μὴν ἀλλὰ παραλλάττουσι, μᾶλλον δὲ καὶ ἐπὶ πλέον ἡ

τὰ ἐρινά] P; τὰ ἐρινεὰ Ald.; τὰ ἔρινα Sch.syll.; καὶ τοὺς ἐρινέους St.

συμβαίνει δ' οὖν] dedi de conj.; συμβαίνει σχεδὸν UMV Ald.; συμβαίνειν δὲ σχεδὸν H. St. Sch.; itaque pene fieri, ut G.

τῶν δένδρων] UMV Sch.; τὸ δένδρον Ald. H. St.

Cap. IV.

γίνεται] τῶν ἀγρίων inepte add. St.

ὥσπερ δὲ — οὐ κατὰ] Ald. Edd.; δὲ om. UMV. Quare Schn. in Comm. scribi voluit ὥσπερ καὶ — οὐδὲ κατὰ, in Syll. vero ὥσπερ καὶ — οὐ γὰρ κατὰ; quod et antea diximus. non enim G.

πρῖνον] Ald. St. Sch.; πρίνον H.

2. ἀνδράχλη] ἀνδράχνη Ald. Edd. o.

ἀφάρκη] UMVPmBas. Sch.; apharca G.; ἀβάρκη Ald. H. St. quod correxerat Palmer. Ex. p. 588.

καὶ πρὸ ζεφ.] καὶ πρὸς ζεφ. U. Post ζεφύρου additur μὲν in Ald. Edd., quod om. UMVP Sch.

εὐθὺ] U; εὐθὺς Ald. Edd. o.

χρανεία καὶ θηλυχρανεία] MVP St. Sch.; καὶ om. Ald. H.; χρανεια καὶ θηλυχρανεια, bis ι supra ει scripto U.

δάφνη] καὶ add. St.

κλήθρα] κληθρα scripto ει super η U.

φηγὸς] φυγὸς Cam.

ἀκτέος] MV Ald.; κτεος cum α superscr. U; sambucus G., unde ἄκτη H. St.; ἀκτῆ Schn. Servavi librorum scripturam; forsan aliud subest: conjeci olim κότινος.

τὰ ἄκαρπα δοκοῦντα καὶ ἀλσώδη] dedi de conj.; τὰ ἀκ. τὰ δοκ. καὶ ἀλσ. UMP; τὰ ἄκ. τὰ δοκ. ἀλσώδη Ald. H. St.; τὰ ἀλσώδη τὰ ἄκαρπα δοκοῦντα Schn.

ὀψιαίτερον] M Ald. Sch.; ὀψαίτερον H.

τὰ δὲ ἄλλα ὥσπερ ἐνισταμένου] dedi de conj.; τὰ δὲ ἄλλως περ' ἐνιστ. U; τὰ δὲ ἄλλως περιενισταμένου M Ald. H.; τὰ δὲ ἄλλα περιενισταμένου Sch.

ὀξυάκανθος] — ἄνθη St.

ὀψιβλαστότατον] — τατα St.

θύεια] θυία St. Cf. Lobeck ad Phryn. p. 165.

3. μὲν ὡς εἰπ.] UMV Sch.; μὲν om. Ald. Edd.

δὲ καὶ ἐπὶ] USch.syll.; καὶ om. Ald. Edd.

τῶν καρπῶν τελείωσις. κρανεία μὲν γὰρ ἀποδίδωσι περὶ τροπὰς θερινὰς ἡ πρώϊος σχεδὸν ὥσπερ πρῶτον· ἡ δ' ὄψιος, ἣν δή τινες καλοῦσι θηλυκρανείαν, μετ' αὐτὸ τὸ μετόπωρον· ἔστι δὲ ὁ ταύτης καρπὸς ἄβρωτος καὶ τὸ ξύλον ἀσ-
4. θενὲς καὶ χαῦνον· τοσαύτη δὴ διαφορὰ περὶ ἄμφω. τέρμινθος δὲ περὶ πυροῦ ἀμητὸν ἢ μικρῷ ὀψιαίτερον ἀποδίδωσι καὶ μελία καὶ σφένδαμνος τοῦ θέρους τὸν καρπόν· κλήθρα δὲ καὶ καρύα καὶ ἀχράδων τι γένος μετοπώρου· ὀρῦς δὲ καὶ διοσβάλανος ὀψιαίτερον ἔτι περὶ Πλειάδος δύσιν, ὡσαύτως δὲ καὶ φιλύκη καὶ πρῖνος καὶ παλίουρος καὶ ὀξυάκανθος μετὰ Πλειάδος δύσιν· ἡ δ' ἀρία χειμῶνος ἀρχομένου· καὶ ἡ μηλέα μὲν τοῖς πρώτοις ψύχεσιν, ἀχρὰς δὲ ὀψία χειμῶνος· ἀνδράχλη δὲ καὶ ἀφάρκη τὸ μὲν πρῶτον πεπαίνουσιν ἅμα τῷ βότρυϊ περκάζοντι, τὸ δὲ ὕστερον, δοκεῖ γὰρ ταῦτα δίκαρπα, ἀρχομένου τοῦ χειμῶ-
5. νος, ἐλάτη δὲ καὶ μίλος ἀνθοῦσι μικρὸν πρὸ ἡλίου τροπῶν· καὶ τῆς γε ἐλάτης τὸ ἄνθος κρόκινον καὶ ἄλλως καλόν· τὸν δὲ καρπὸν ἀφιᾶσι μετὰ δύσιν Πλειάδος. πεύκη δὲ καὶ πίτυς προτεροῦσι τῇ βλαστήσει μικρὸν, ὅσον πεντεκαίδεκα ἡμέραις, τοῦς δὲ καρποὺς ἀποδιδόασι μετὰ Πλειάδα κατὰ λόγον. ταῦτα μὲν οὖν μετριωτέραν μὲν ἔχει παραλλαγήν· πάντων δὲ πλείστην ἡ ἄρκευθος καὶ ἡ κήλαστρος καὶ ἡ πρῖνος· ἡ μὲν γὰρ ἄρκευθος ἐνιαύσιον ἔχειν δοκεῖ· περικαταλαμβάνει γὰρ ὁ νέος τὸν περυσινόν. ὡς δέ τινές φασιν οὐδὲ πεπαίνει, δι' ὃ καὶ προαφαιροῦσι καὶ χρόνον τινὰ τηροῦσιν· ἐὰν δὲ ἐᾷ ἐπὶ τοῦ δένδρου τις ἀποξη-

κρανεία] Ald.; *κρανεια* cum superscripto *ι* U; *κράνεια* Sch. — Dein *περὶ* om. MP.

σχεδὸν ὥσπερ πρῶτον] Ald. H. et Sch. cum lacunae signo. „Manifesto vitiosa et sensu cassa" Sch.; *σχεδὸν οὕτως ἡ πρωϊωτερον* St. G. haec omisit. Plinius, 16, 26: *Cornus enim circa solstitia reddit primo candidum postea sanguineum.*

ἡ δ' ὄψιος] *δ'* cum St. Schn. interserui.

ἣν δή τινες] U sed *δὴ* in rasura, Ald. Edd. — *θηλυκράνειαν* Sch., paroxyton. Ald.; *θηλυκρανειαν* cum superscripto *ι* U.

χαῦνον] Post *ἅμφω* e vers. G. *cum mari firmissimum sit ἄρρενι δὴ σκληρότατον* add. H. St.; *τῷ δ' ἄρρενι σκληρότατον* i. u. add. post *χαῦνον* Sch.

δὴ διαφ.] U, Sch. invitus, voluit enim *δὴ ἡ διαφ.* dare; *δ' ἡ διαφ.* Ald. H; *δὲ ἡ δ.* St.

4. *ἢ μικρῷ*] U Sch.syll.; *ἢ καὶ μ.* Ald. Edd. o.

ἀποδίδωσι καὶ μ.] U Sch.syll.; *ἀποδίδωσι· μελία* Ald. H. Sch.; *ὀψιαίτερον· μελία δὲ καὶ σφένδαμνος τοῦ θέρους ἀποδίδωσι τ. κ.* St. Ceterum structura verborum haud concinna est.

σφένδαμνος] St. Sch.; *σφέδαμνος* Ald. Bas. H.; *σφέδαμνον* P.

καὶ] post *καρύα* om. H.

ἔτι] Ald. Edd.; *ὅτι* UMV.

πρῖνος] Ald. St. Sch.; *πρινος* H.

ὀξυάκανθος] — *ανθη* St.

ἡ μηλέα] U; *ἡ* om. cett.

ὀψίαι] *ὀψίου* St. Malim *ἡ ὀψία. pirus serotina est: quippe quae hyeme sua perficit poma* G.

ἀνδράχλη] *ἀνδράχνη* Ald. Edd. ρ.

τὸ μὲν πρῶτον] *τὸν μὲν πρ.* et *τὸν δὲ ὕστερον* Sch.

ὕστερον] *ἀνθοῦντι* add. Ald. H. et G.; Schn. lunulis seclusit; St. praeeunte Salmasio cum Bodaeo *περκάζοντι ἢ ἀνθοῦντι· τὸ δ' ὕστερον, δοκεῖ* etc. Plinius 13, 22 verbum illud non expressit.

5. *ἐλάτη δὲ*] scripsi de conj.; *ἐλάτη γὰρ* Ald. Edd. o.; *abies et taxus* G. Ceterum quae sequntur *καὶ τῆς — καλὸν* a glossatore profecta esse videntur.

δίκαρπα] *δικαρπεῖν* St.

ἀρχομένου] *ἐρχομένη* M.

κρόκινον] corr. e vers. G. et 1, 13, 1 H. St. Sch.; *κύκινον* M; *κόκκινον* Ald.

ἀποδιδόασι] corr. Sch.; *ἀποδίδωσι* Ald. Edd.

μὲν ἔχει παραλλαγὴν] U Sch.syll.; *μὲν* et *παραλλάγην* om. Ald. Edd., *ἐ. διαφορὰν* Sch. cont. — *μετριώτερον· πάντων δὲ ὀψιαίτατα ἡ ἀρ.* St.

ἡ πρῖνος] UMVP Sch.; *ἡ* om. Ald. Edd.; *πρίνος* H.

ἐᾷ] om. Bas.

ραίνεται. φασὶ δὲ καὶ τὴν πρῖνον οἱ περὶ Ἀρκαδίαν ἐνιαυτῷ τελειοῦν· ἅμα γὰρ τὸν ἔνον πεπαίνει καὶ τὸν νέον ὑποφαίνει· ὥστε τοῖς τοιούτοις συμβαίνει συνεχῶς τὸν καρπὸν ἔχειν. φασὶ δέ γε καὶ τὴν κήλαστρον ὑπὸ τοῦ χειμῶνος ἀποβάλλειν. ὀψίκαρπα δὲ σφόδρα καὶ φίλυρα καὶ πύξος. τὸν δὲ καρπὸν ἄβρωτον ἔχει παντὶ ζώῳ φίλυρα θηλυκρανεία πύξος. ὀψίκαρπα δὲ καὶ κιττὸς καὶ ἄρκευθος καὶ πεύκη καὶ ἀνδράχλη. ὡς δὲ οἱ περὶ Ἀρκαδίαν φασίν, ἔτι τούτων ὀψικαρπότερα σχεδὸν δὲ πάντων ὀψιαίτερα τετραγωνία θύεια μίλος. αἱ μὲν οὖν τῶν καρπῶν ἀποβολαὶ καὶ πεπάνσεις τῶν ἀγρίων τοιαύτας ἔχουσι διαφορὰς οὐ μόνον πρὸς τὰ ἤμερα ἀλλὰ καὶ πρὸς ἑαυτά. 6.

Cap. V. Συμβαίνει δ' ὅταν ἄρξωνται βλαστάνειν τὰ μὲν ἄλλα συνεχῆ τήν τε βλάστησιν καὶ τὴν αὔξησιν ποιεῖσθαι, πεύκην δὲ καὶ ἐλάτην καὶ δρῦν διαλείπειν καὶ τρεῖς ὁρμὰς εἶναι καὶ τρεῖς ἀφιέναι βλαστούς, δι' ὃ καὶ τρίςλοποι· πᾶν γὰρ δὴ δένδρον ὅταν βλαστάνῃ λοπᾷ· πρῶτον μὲν ἄκρου ἔαρος εὐθὺς ἱσταμένου τοῦ Θαργηλιῶνος, ἐν δὲ τῇ Ἰόῃ περὶ πεντεκαίδεκα μάλιστα ἡμέρας· μετὰ δὲ ταῦτα διαλιπόντα περὶ τριάκοντα ἢ μικρῷ πλείους ἐπιβάλλεται πάλιν ἄλλους βλαστοὺς ἀπ' ἄκρας τῆς κορυνήσεως τῆς ἐπὶ τῷ προτέρῳ βλαστῷ· καὶ τὰ μὲν ἄνω τὰ δ' εἰς τὰ πλάγια κύκλῳ ποιεῖται τὴν βλάστησιν, οἷον γόνυ ποιησάμενα τὴν τοῦ πρώτου βλαστοῦ κορύνην ὥςπερ καὶ ἡ πρώτη βλάστησις ἔχει.

6. *φασὶ δέ γε*] U; cett. om. *γε*.

τὴν κήλαστρον] UP Edd. post H.; *κήλαστον* Ald.

ὑπὸ τοῦ χειμῶνος] MV Ald. Sch.; *ὑπὸ τὸν χειμῶνα* H. St.

ὀψίκαρπα] U; *ὀψίκαρπον* Ald. Edd.

φίλυρα] Ald. Edd. *καὶ πύξος καὶ φίλυρα* St. Sch. *φιλυρέα* conj.

τὸν δὲ κ.] Haec ita scr. St. (*τὸν δὲ κ. — ζώῳ ἡ φίλυρα*) *καὶ θηλύκρανεία· ὀψίκ. — θηλυκρανεία* cum superscripto ι U.

ὀψίκαρπα] U St. et Sch.; praeeuntibus Scalig. et Palmer. Ex. p. 588. *ὀξύκαρπα* Ald. H.

καὶ ἄρκ. — ἀνδράχλη] uncis seclusit Sch.; — *ἀνδρύχλη* U; *ἀνδρύχνη* Ald. Edd. o. Cum verba *τὸν δὲ καρπὸν — πύξος* rem ad hunc locum non pertinentem explicent, atque in proximis recoquantur quae supra jam allata sunt, vix dubitari potest, quin haec particula contextui male assuta sit, quae ab interpretatore sciolo vel compilatore profecta quocunque modo in textum irrepsit. Quamobrem verba *τὸν δὲ καρπὸν — καὶ ἀνδράχλη* resecanda esse videntur.

ὀψιαίτερα τετραγωνία] Schn. corr. in Syll., in cont. habuit *ὀψιέστερα τετραγ. ὀψίστερα γωνιεια* U; *ὀψίτερα γωνία* MV; *ὀψιαίστερα γ.* P; *ὀψιέστερα γωνία* Ald. H. *τετραγωνία* conj. Scal., mBod. St. Vides literas *τετρα* excidisse propter similem verbi praecedentis clausulam. Sed in Append. Schn. inter scripturas Urbinatis ab Amatio adnotatas refert *τετραγωνίεια*.

πεπάνσεις τῶν ἀγρίων] Verba *τῶν ἀγρίων* huc transposuit Sch., in Ald. Edd. male post *ἤμερα* posita.

Cap. V.

ἄρξωνται] *ἄρξονται* H. cum Cam.

τήν τε] em. Sch.; *τηνγε* U; *τήν γε* Ald. Edd.

δρῦν] *δρῦν* U.

τρίςλοποι] corr. Sch.; *τρίςλοιποι* UM₂V; *τρίςλιποι* M₁ Ald. Edd.; *τρισλοιπει καὶ λοιπᾷ* margo U ex relat. Amati.

λοπᾷ] Sch.; *λοιπᾷ* M₁ et ₂ V; *λοιπαῖ* U; *λιπᾷ* Ald. Edd. Cf. 4, 15, 3. Bod. probabat *τρίςλιποι* et *λιπᾶν* a pingui genitalique humore subeunte.

ἄκρου ἔαρος] corr. RConst. H. St. Sch.; *ἄκρου ἐέρος* V Ald.

ἡμέρας] *ἡμέραις* P.

διαλιπόντα] UV Sch.; *διαλείποντα* Ald. Edd.

ἄλλους βλ.] *ἄλλα βλ.* MV.

κορυνήσεως] emend. Schn.; *κορύνης ἕως* UMV; *κορυφῆς ἕως* Ald. H.; *κορυφῆς ἕως τῆς* [*ἀχχῆς*] *ἐπὶ* St.

τὰ πλάγια] Sch.; *τὰ* om. Ald. Edd.

ποιησάμενα] U St. Schn.; *ποιησάμεναι* Ald. H. — Post h. v. *κατὰ* add. St.

2 γίνεται δὲ τοῦτο περὶ τὸν Σκιρροφοριῶνα λήγοντα. κατὰ δὲ ταύτην τὴν βλάστησιν καὶ ἡ κηκὶς φύεται πᾶσα, καὶ ἡ λευκὴ καὶ ἡ μέλαινα· φύεται δὲ ὡς ἐπὶ τὸ πολὺ νυκτὸς ἀθρόος· ἐφ' ἡμέραν δὲ μίαν αὐξηθεῖσα, πλὴν τῆς πιττοειδοῦς, ἐὰν ὑπὸ τοῦ καύματος ληφθῇ ξηραίνεται, καὶ ἀναυξὴς ἐπὶ τὸ μεῖζον, ἐγίνετο γὰρ ἂν μείζων τῷ μεγέθει. διόπερ τινὲς αὐτῶν οὐ μεῖζον ἔχουσι κυάμου τὸ μέγεθος. ἡ δὲ μέλαινα καὶ ἐπὶ πλείους ἡμέρας ἔγχλωρός ἐστι, καὶ αὐξάνονται καὶ λαμβάνουσιν ἔνιαι μέγεθος μήλου. διαλείποντα δὲ μετὰ τοῦτο περὶ πεντεκαίδεκα ἡμέρας πάλιν τὸ τρίτον ἐπιβάλλεται βλαστοὺς Ἑκατομβαιῶνος, ἐλαχίστας ἡμέρας τῶν πρότερον· ἴσως γὰρ ἓξ ἢ ἑπτὰ τὸ πλεῖστον· ἡ δὲ βλάστησις ὁμοία καὶ τὸν αὐτὸν τρόπον. παρελθουσῶν δὲ τούτων οὐκέτι εἰς
3 μῆκος ἀλλ' εἰς πάχος ἡ αὔξησις τρέπεται. πᾶσι μὲν οὖν τοῖς δένδροις αἱ βλαστήσεις φανεραί, μάλιστα δὲ τῇ ἐλάτῃ καὶ τῇ πεύκῃ διὰ τὸ στοιχεῖν τὰ γόνατα καὶ ἐξ ἴσου τοὺς ὄζους ἔχειν. ὥρα δὲ καὶ πρὸς τὸ τέμνεσθαι τὰ ξύλα τότε διὰ τὸ λοπᾶν· ἐν γὰρ τοῖς ἄλλοις καιροῖς οὐκ εὐπεριαίρετος ὁ φλοιός, ἀλλὰ καὶ περιαιρεθέντος μέλαν τὸ ξύλον γίνεται καὶ τῇ ὄψει χεῖρον· ἐπεὶ καὶ πρός γε τὴν χρείαν οὐδὲν, ἀλλὰ καὶ ἰσχυρότερον ἐὰν μετὰ τὴν πέπανσιν τῶν
4. 7 H. 5 St. καρπῶν τμηθῇ. ταῦτα μὲν οὖν ἴδια τῶν προειρημένων δένδρων. αἱ δὲ βλαστήσεις αἱ ἐπὶ κυνὶ καὶ ἀρκτούρῳ γινόμεναι μετὰ τὴν ἐαρινὴν σχεδὸν κοιναὶ πάντων· ἔνδηλοι δὲ μᾶλλον ἐν τοῖς ἡμέροις καὶ τούτων μάλιστα συκῇ καὶ ἀμπέλῳ καὶ ῥοιᾷ καὶ ὅλως ὅσα εὐτραφῆ καὶ ὅπου χώρα τοιαύτη· διὸ καὶ τὴν ἐπ' ἀρκτούρῳ πλείστην φασὶ γίνεσθαι περὶ Θετταλίαν καὶ Μακεδονίαν· ἅμα γὰρ

Σκιρροφοριῶνα] Ald. Edd.; *σιφορίωνα* U.

2. *κηκὶς*] Sch.; *κηκὶς* in rasura U; *κικὶς* Ald. Edd.

ἀθρόος] U; *ἀθρόως* Ald. Edd. o.

πιττοειδοῦς] UMV Ald. Sch.syll.; *πιττώδους* H. St. Schn. — Post h. v. *ἡ* inser. St.

ἐπὶ τὸ μ.] *ἐστὶ τὸ μ.* St.

μείζων τὸ μ.] *μείζω* scripto *ν* super *ω* U.

ἔγχλωρος] de conj. Coraii dedit Schn. syll.; *εὔχλωρος* Ald. Edd.

αὐξάνονται] UMVP Sch.syll.; *αὐξάνεται* Ald. Edd.

ἔνιαι] om. St. Sch.; *ἔνια* Ald. H.

διαλείποντα] em. St. Schn.; *διαλείπουσαι* Ald. H.

τὸ τρίτον] *τὸν τρίτον* Bod.

ἐλαχίστας — πρότερον] Vitium subesse videtur. G.: *multo paucioribus quam prius.*

ἴσως] UMV Ald. St. Sch.; *ἴσους* H.

βλάστησις] *ταύτης* add. i. u. St.

παρελθουσῶν] U Sch.syll.; *ἐλθουσῶν* Ald. Edd. o.

2. *πᾶσι*] *πᾶσαι* H.

εὐπεριαίρετος] *εὐπεριαίρετος* Cam.

λοπᾶν] Schn.; *λοιπᾶν* UMV; *λιπᾶν* Ald.

πρός γε] Sch.; *πρός τε* Ald. Edd. Sch. seclusit *καὶ* et post *οὐδὲν* add. *διαφέρει. nam ad usum quidem non refert* G.

4. *ταῦτα μὲν οὖν*] U; *οὖν* om. Ald. Edd.

δένδρων] ex em. R Const. St. Sch.; *καρπῶν* Ald. H.

αἱ δὲ βλαστήσεις αἱ] U Sch. e conj.; *αἱ δὲ* cum lacuna Ald.; *αἱ δὲ* sine lacuna MV; *αἱ δὲ βλαστήσεις* Cam. H. St.

ἐπὶ κυνὶ] Cam.; e corr. Scal. H. St. Sch.; *ἐπὶ κυνὶ* Ald. Bas.; om. G.

ἀρκτούρῳ] St. Schn.; *ἀρκτούρωι* U; *ἀρκτούρων* MV Ald.

ἔνδηλοι] MV; *εὔδηλοι* Ald. Edd. o.; *ἔνδηλα* U.

ἀμπέλῳ] UMV St. Sch. de corr. R Const.; *ἄμπελος* Ald. H.

ῥοιᾷ] M; *ῥοιαῖ* U; *ῥοίᾳ* St.; *ῥόᾳ* Sch.; *ῥοιᾷ* Ald. H.; *καὶ ῥοιᾷ* om. P.

καὶ ὅλως] *καὶ τοῖς ὅλως* voluit R Const., male. — *εὐτρεφῆ* V.

χώρα] R Const. maluit *ὥρα*, temere. Potius *ἡ χώρα* scriberes.

φ. γίνεσθαι] UV m Bod. St. Sch.; *φ. γενέσθαι* Ald. H.

συμβαίνει καὶ τὸ μετόπωρον καλὸν γίνεσθαι καὶ μακρὸν, ὥστε καὶ τὴν μαλακότητα συμβάλλεσθαι τοῦ ἀέρος. ἐπεὶ καὶ ἐν Αἰγύπτῳ διὰ τοῦθ' ὡς εἰπεῖν αἰεὶ βλαστάνει τὰ δένδρα ἢ καὶ μικρόν τινα διαλείπει χρόνον. ἀλλὰ τὰ μὲν περὶ 5.
τὰς ἐκβλαστήσεις ὥσπερ εἴρηται κοινὰ, τὰ δὲ περὶ τὰς διαλείψεις ἀπὸ τῆς πρώτης ἴδια τῶν λεχθέντων. ἴδιον δ' ἐνίοις ὑπάρχει καὶ τὸ τῆς καλουμένης κάχρυος, οἷον τοῖς τε προειρημένοις· ἔχει γὰρ καὶ ἐλάτη καὶ πεύκη καὶ δρῦς καὶ ἔτι φίλυρα καὶ καρύα καὶ διοσβάλανος καὶ πίτυς. αὗται δὲ γίνονται δρυῒ μὲν πρὸ τῆς βλαστήσεως ὑποφαινούσης τῆς ἠρινῆς ὥρας. ἔστι δ' ὡσπερεὶ κύησις φυλλικὴ μεταξὺ πίπτουσα τῆς ἐξ ἀρχῆς ἐποιδήσεως καὶ τῆς φυλλικῆς βλαστήσεως· τῇ δ' ὅῃ ἐστὶ τοῦ μετοπώρου μετὰ τὴν φυλλοβολίαν εὐθὺς λιπαρά τις καὶ ὥσπερ ἐπωδηκυῖα, καθαπερανεὶ μέλλουσα βλαστάνειν, καὶ διαμένει τὸν χειμῶνα μέχρι τοῦ ἦρος. ἡ δὲ ἡρακλεωτικὴ μετὰ τὴν ἀποβολὴν τοῦ καρποῦ φύει τὸ βοτρυῶδες ἡλίκον σκώληξ εὐμεγέθης, ἐξ ἑνὸς μίσχου πλείω δὴ, ἃ καλοῦσί τινες ἰούλους. τούτων ἕκαστον ἐκ μικρῶν σύγκειται μορίων φολιδωτῶν τῇ τάξει 6.
καθάπερ οἱ στρόβιλοι τῆς πεύκης, ὥστε μὴ ἀνομοίαν εἶναι τὴν ὄψιν στροβίλῳ νέῳ καὶ χλωρῷ πλὴν προμηκέστερον καὶ σχεδὸν ἰσόπαχες διόλου. τοῦτο δὲ

μετόπωρον] *ἐκεῖ* add. St.

καὶ μακρὸν] *καὶ* om. H.

συμβάλλεσθαι] *συμβάλεσθαι* M.

αἰεὶ] UM; *ἀεὶ* Ald. Edd. o.

διαλείπει χρόνον] *διαλει χρόνον*, syllaba *πει* superscripta, U.

5. *διαλείψεις*] *διαλήψεις* P.

ἴδια] U; de corr. RConst. St. Sch.; *εἴδη* V Ald. H; *τῶν πρώτης εἴδι* M.

φίλυρα] Ald. Cam.; *φίλλυρα* Bas.

καὶ πίτυς] Ald. Edd.; *καὶ* om. UM.

ἔχει πλείους μὲν ἡ πεύκη σκληροτέρους δ' ἡ ἐλάτη, σχεδὸν δὲ πάντων ὡς εἰπεῖν σκληροτέρους, τὸ δὲ ξύλον μαλακώτερον. ὅλως δὲ οἱ ὄζοι πυκνότατοι καὶ στερεώτατοι μόνον οὐ διαφανεῖς ἐλάτης καὶ πεύκης καὶ τῷ χρώματι ὁμοιώδεις καὶ μάλιστα διάφοροι τοῦ ξύλου, μᾶλλον δὲ τῆς ἐλάτης. ἔχει δὲ, ὥσπερ ἡ πεύκη τὴν αἰγίδα, καὶ ἡ ἐλάτη τὸ λευκὸν λοῦσσον καλούμενον, οἷον ἀντίστροφον τῇ αἰγίδι, πλὴν τὸ μὲν λευκὸν ἡ δ' αἰγὶς εὔχρως διὰ τὸ ἔνδαδον. πυκνὸν δὲ καὶ λευκὸν γίνεται καὶ καλὸν ἐκ τῶν πρεσβυτέρων ἤδη δένδρων· ἀλλὰ σπάνιον τὸ χρηστὸν, τὸ δὲ τυχὸν ῥαψιλὲς ἐξ οὗ τά τε τῶν ζωγράφων πινάκια ποιοῦσι καὶ τὰ γραμματεῖα τὰ πολλά· τὰ δ' ἐσπουδασμένα ἐκ τοῦ βελτίονος. οἱ 8.
δὲ περὶ Ἀρκαδίαν ἀμφότερα καλοῦσιν αἰγίδα καὶ τὴν τῆς πεύκης καὶ τὴν τῆς ἐλάτης, καὶ εἶναι πλείω τὴν τῆς ἐλάτης ἀλλὰ καλλίω τὴν τῆς πεύκης· εἶναι γὰρ τῆς μὲν ἐλάτης πολλήν τε καὶ λείαν καὶ πυκνὴν, τῆς δὲ πεύκης ὀλίγην, τὴν μέντοι οὖσαν οὐλοτέραν καὶ ἰσχυροτέραν καὶ τὸ ὅλον καλλίω. οὗτοι μὲν οὖν ἐοίκασι τοῖς ὀνόμασι διαφωνεῖν. ἡ δὲ ἐλάτη ταύτας ἔχει τὰς διαφορὰς πρὸς τὴν πεύκην καὶ ἔτι τὴν περὶ τὴν ἄμφαυξιν ἣν πρότερον εἴπομεν.

Cap. X. Ὀξύη δ' οὐκ ἔχει διαφορὰς ἀλλ' ἐστὶ μονογενές· ὀρθοφυὲς δὲ καὶ 9 St.
λεῖον καὶ ἄνοζον καὶ πάχος καὶ ὕψος ἔχον σχεδὸν ἴσον τῇ ἐλάτῃ· καὶ τἆλλα δὲ παρόμοιον τὸ δένδρον· ξύλον δὲ εὔχρουν ἰσχυρὸν εὔινον καὶ φλοιὸν λεῖον

εἰπεῖν σκληροτέρους] UMV Ald. H.; *quin et reliquis omnibus fere duriores* G.; *σκληροτάτους* cum RConst. St. Sch.. Comparativus bene habet.

στερεώτατοι] Havn. 1., conj. Scalig. St. Schn.; *στερεώτι καὶ* U; *στερεωτικαὶ* PAld.; *στερεωτικοὶ* Cam. H.; *στερραωτικοὶ* M secund. Schn. in Comm., sed in Auctar. MV cum U convenire dicuntur.

μόνον οὐ] dedi de conj. egregia Schneideri; *οὐ* om. Ald. H. — *μόνον ἐμφανεῖς οἱ τῆς ἐλάτης· οἱ δὲ τῆς πεύκης* St.

μᾶλλον δὲ] dedi de conj.; *μᾶλλον ἢ* Ald.; *μᾶλλον δὲ τῆς πεύκης ἢ τῆς ἐλ.* Scal. Sch.; *καὶ ἔτι μᾶλλον αἱ διαφοραὶ τοῦ ξύλου τῆς πεύκης καὶ τῆς ἐλ.* St.

τῇ αἰγ.] U Sch.syll.; *τῇ* om. Ald. Edd.

πλὴν τὸ μὲν λ.] *μὲν* add. Sch. cum Havn. 1.; *τοῦτο λευκὸν* St.

καὶ λευκὸν] *τὸ λ.* St.

καλὸν ἐκ τῶν] Schn. cum G.; *καλὸν καὶ ἐκ τῶν* Ald. Edd.

σπανιὸν] *ἐπανιὸν* U.

τὸ δὲ τυχὸν δ.] *τὸ δὲ τὸ τυχὸν ῥαψιλεὺ* U; *τὸ δὲ — ῥαψιλὲς* om. St.

τά τε τῶν] U; *τε τῶν* MV; *τὰ τῶν* Ald. Edd. o.

γραμματεῖα] *γραμμάτειὰ* U.

τὰ δ'] corr. Schn. cum Scal.; *καὶ* Ald. Edd.

ἐσπουδασμένα] U Edd. post H.; *ἐσπουδαγμένα* Ald. M.

ἐκ τ. β.] *ἐκ* om. M; *καὶ τοῦ β.* Ald. Correxerunt auct. Scalig. Edd. — *ἐστι* i. u. add. St.

8. *ἐλάτης — πεύκης*] sic cum Scalig. Edd. o.; *πεύκης — ἐλάτης* ordine inverso Ald., quem servare sequentia non patiuntur. Recte G.: *et copiosiorem esse abietis volunt: sed meliorem pini.*

εἶναι γὰρ] Ald. Edd.; *ἀγαθὰ γὰρ* UMV; *abietis enim totam commodam laevem spissamque* G. An fuit *γίνεσθαι γὰρ*?

τῆς μὲν] *τὴν μὲν τῆς* St., quod probat Sch.

πολλὴν] Schn. de corr. C. Gesneri apud Dalec.; *ὅλην* MV Ald.; *οὖλην* U, mBas. Scal.; *οὐλην* St.

διαφωνεῖν] *διαφωρεῖν* M.

ἔτι τὴν] U Sch.syll.; *τὴν* om. Ald. Edd.

ἄμφαυξιν] *ἄμφαξιν* M.

Cap. X.

ὀξύη] *ὀξύη η* in ras. U; *ὀξία* P; *ἡ δ' ὀξ.* St.

παρόμοιον] *τε*, quod addunt Ald. Edd., seclusit Schn., ipse omisi. RConst. conj. *κατ' ἄλλα δὲ*, Spreng. *κατ' ἄλλα δὲ ἀνόμοιον*. An *τε* remansit loco veteris *αὐτῇ*?

καὶ παχὺν, φύλλον δ' ἀσχιδὲς προμηκέστερον ἀπίου καὶ ἐπακάνθιζον ἐξ ἄκρου, ῥίζας οὔτε πολλὰς οὔτε κατὰ βάθους· ὁ δὲ καρπὸς λεῖος βαλανώδης ἐν ἐχίνῳ πλὴν ἀνακάνθῳ καὶ λείῳ, καὶ οὐχ ὡς ἡ διοσβάλανος ἀκανθώδει, προσεμφερὴς δὲ καὶ κατὰ γλυκύτητα καὶ κατὰ τὸν χυλὸν ἐκείνῳ. γίνεται δὲ καὶ ἐν τῷ ὄρει λευκὴ ἡ καὶ χρήσιμον ἔχει τὸ ξύλον πρὸς πολλά· καὶ γὰρ πρὸς ἁμαξουργίαν καὶ πρὸς κλινοπηγίαν καὶ εἰς διφρουργίαν καὶ εἰς τραπεζίαν καὶ εἰς ναυπηγίαν· ἡ δ' ἐν τοῖς πεδίοις μέλαινα καὶ ἄχρηστος πρὸς ταῦτα· τὸν δὲ καρπὸν ἔχουσι
2. παραπλήσιον. μονογενὴς δὲ καὶ ἡ μίλος, ὀρθοφυὴς δὲ καὶ εὐαυξὴς καὶ ὁμοία τῇ ἐλάτῃ, πλὴν οὐχ ὑψηλὸν οὕτω πολυμάσχαλον δὲ μᾶλλον. ὅμοιον δὲ καὶ τὸ φύλλον ἔχει τῇ ἐλάτῃ λιπαρώτερον δὲ καὶ μαλακώτερον. τὸ δὲ ξύλον ἡ μὲν ἐξ Ἀρκαδίας μέλαν καὶ φοινικοῦν ἡ δ' ἐκ τῆς Ἴδης ξανθὸν σφόδρα καὶ ὅμοιον τῇ κέδρῳ ὅι ὃ καὶ τοὺς πωλοῦντάς φασιν ἐξαπατᾶν ὡς κέδρον πωλοῦντας· πᾶν γὰρ εἶναι καρδίαν ὅταν ὁ φλοιὸς περιαιρεθῇ· ὅμοιον δὲ καὶ τὸν φλοιὸν ἔχειν καὶ τῇ τραχύτητι καὶ τῷ χρώματι τῇ κέδρῳ, ῥίζας δὲ μικρὰς καὶ λεπτὰς καὶ ἐπιπολαίους. σπάνιον δὲ τὸ δένδρον περὶ τὴν Ἴδην, περὶ δὲ Μακεδονίαν καὶ Ἀρκαδίαν πολύ· καὶ καρπὸν φέρει στρογγύλον μικρῷ μείζω κυάμου τῷ χρώματι δ' ἐρυθρὸν καὶ μαλακόν· φασὶ δὲ τὰ μὲν λόφουρα ἐὰν φάγῃ τῶν φύλλων

παχὺν, φύλλον δ' ἀσχιδὲς] dedi cum R Const. mBod., ubi male *παχὺ* scriptum; *καὶ παχύφυλλον, δυσχιδές* Ald. H.; *παχύφυλλον φύλλῳ δυσχίδει* St.; —*δισχιδὲς* UP; —*δισχιδὲν* MV; *folium crassum bifidum* G. *καὶ παχὺν φύλλον δυσχιδὲς* Schn. secutus Caesalpin. 2, 3, qui *δυσχιδὲς difficile ad findendum* interpretatur; *ein wenig eingeschnittenes Blatt* Spr. Vox *δυσχιδὲς* ne graeca quidem est; dicunt *δυσχιστόν*.

ἐπακάνθιζον] U Sch. de conj.; *ἐξακάνθιζον* Ald. Edd.

ῥίζας] *δὲ* add. St.

βάθους] UMVP Sch.syll.; *βάθος* Ald. Edd. o.

βαλανώδης] U *η* in ras. Dein *ἐν ἐχινώδει περικαρπίῳ* St.; *βαλλανώδης* Cam.

πλὴν ἀνακάνθῳ] sic scripsi partim e conj.; *πλὴν οὐκ ἀνακάνθωι καὶ λείωι* U; *π. οὐκ ἐν ἀκάνθῳ* MV Ald.; *π. οὐκ ἐνίκανθος καὶ λεῖος* H.; *π. οὐκ ἐνακάνθῳ* RConst. Sch.; *πλὴν ἀνακάνθῳ ἢ οὐ λίαν* in parenthesi St. Equidem U lectionem pro vera, sed *οὐκ* pro interpolato habeo. Ita explico: Verbis *ἐν ἐχίνῳ* similitudinem pericarpii Castaneae et Fagi significare vult; verbis *πλὴν—λείῳ* cavet ne pericarpium Fagi aculeatum esse putemus, est enim hirsutum quidem sed cum aculeato Castaneae comparatum laeve vocandum. Salm. Ex. p. 424 voluit *πλὴν ἀνάκανθος καὶ λεῖος—ἀκανθώδης*.

ἀκανθώδει] e conj. RConst. Schn.; *ἀκανθώδης* Ald. H. St. et U *η* in ras.

δὲ καὶ κατὰ γλυκ.] *δὲ καὶ ἡ κατὰ γλ.* U; *δὲ ἡ κατὰ γλ.* MV; certe M *τὴν* omittunt, quod de U et V non constat; nam *δὲ καὶ κατὰ τὴν γλ.* Ald. Edd.; *τοῦ καρποῦ* add. St.

ἐκείνῳ] Ald. H. St.; *ἐκείνῃ* cum RConst. Sch.; *ἐκείνων* U. Referendum est ad *ὁ καρπός*.

γίνεται δὲ καὶ ἐν] Ald. H. St.; *nascitur etiam montibus* G.; *γίνεται δὲ ἡ μὲν* corr. Sch., qua mutatione structura nequaquam sublevatur. Etenim cum Th. scripturus fuisset *γίνεται δὲ καὶ ἐν τῷ ὄρει — καὶ ἐν τοῖς πεδίοις*, dein Fagi montanae natura exposita, structura haud incommode variata, pergit *ἡ δ' ἐν τοῖς πεδίοις*.

λευκὴ ἡ καὶ] dedi de conj.; *λεύκη τε, καὶ* Ald. H.; *λευκὴ τε καὶ* Sch.; *ἡ λεύκη δὲ* St.

ἁμαξουργίαν] Ald. Edd.; *ἁμαξητὰ* U; *ἁμαξιτὰ* MV; —*διφουργίαν* H. Bo.

2. *εὐαυξὴς*] St. Schn.; *εὐαξὴς* Ald. H.

τὸ δὲ ξύλον] U Sch.syll.; *καὶ τὸ ξύλον* Ald. Edd. o.

ἡ μὲν—ἡ δ'] *τῆς μὲν—τῆς δὲ* St.

μέλαν] *μέλαινα* antea fuisse rasura indicat U.

ὅμ. δὲ καὶ] U Sch.syll.; *καὶ* om. ceteri.

Ἀρκαδίαν πολὺ· καὶ καρπὸν] Schn.; *Ἀ. καὶ πολὺν καρπὸν* UMV Ald.; *Ἀ. πολὺν καρπὸν* H. St. atque G.

μείζω κυάμου] Ald. Edd.; *μεῖζον κυάμῳ* U.

τῷ χρ.] UMV Sch.; *καὶ τῷ χρ.* Ald. Edd.

λόφουρα] *λοφοῦρα* U. Laudat Schol. Nicand. Al. v. 611.

ἀποθνήσκειν τὰ δὲ μηρυκάζοντα οὐδὲν πάσχειν. τὸν δὲ καρπὸν ἐσθίουσι καὶ τῶν ἀνθρώπων τινὲς καί ἐστιν ἡδὺς καὶ ἀσινής. ἔστι δὲ καὶ ἡ ὄστρυς μονοειδὴς, ἣν καλοῦσί τινες ὀστρύαν, ὁμοφυὲς τῇ ὀξύᾳ τῇ τε φυτείᾳ καὶ τῷ φλοιῷ· φύλλα δὲ ἀπιοειδῆ τῷ σχήματι, πλὴν προμηκέστερα πολλῷ καὶ εἰς ὀξὺ συνηγμένα καὶ μείζω, πολύϊνα δὲ, ἀπὸ τῆς μέσης εὐθείας καὶ μεγάλης τῶν ἄλλων πλευροειδῶς κατατεινουσῶν καὶ πάχος ἐχουσῶν· ἔτι δὲ ἐρρυτιδωμένα κατὰ τὰς ἴνας καὶ χαραγμὸν ἔχοντα κύκλῳ λεπτόν· τὸ δὲ ξύλον σκληρὸν καὶ ἄχρουν, ἔκλευκον· καρπὸν δὲ μικρὸν πρόμακρον ὅμοιον κριθῇ ξανθόν· ῥίζας δὲ ἔχει μετεώρους· ἔνυδρον δὲ καὶ φαραγγῶδες. λέγεται δὲ ὡς οὐκ ἐπιτήδειον εἰς οἰκίαν εἰσφέρειν· δυσθανατᾶν γάρ φασι καὶ δυστοκεῖν οὗ ἂν ᾖ. τῆς δὲ φιλύρας ἡ μὲν 4.
ἄρρην ἐστὶ ἡ δὲ θήλεια· διαφέρουσι δὲ τῇ μορφῇ τῇ ὅλῃ καὶ τῇ τοῦ ξύλου καὶ τῷ τὸ μὲν εἶναι κάρπιμον τὸ δ' ἄκαρπον. τὸ μὲν γὰρ τῆς ἄρρενος ξύλον σκληρὸν καὶ ξανθὸν καὶ ὀζωδέστερον καὶ πυκνότερόν ἐστι ἔτι δ' εὐωδέστερον, τὸ δὲ τῆς θηλείας λευκότερον. καὶ ὁ φλοιὸς τῆς μὲν ἄρρενος παχύτερος καὶ περιαιρεθεὶς ἀκαμπὴς διὰ τὴν σκληρότητα, τῆς δὲ θηλείας λεπτότερος καὶ εὐκαμπὴς ἐξ οὗ τὰς κίστας ποιοῦσιν. καὶ ἡ μὲν ἄκαρπος καὶ ἀνανθὴς, ἡ δὲ θήλεια καὶ ἄνθος ἔχει καὶ καρπόν· τὸ μὲν ἄνθος καλυκῶδες παρὰ τὸν τοῦ φύλλου

ἀποθνήσκειν] *ἀποθνήισκειν* U.

μηρυκάζοντα] P Edd. post H.; *μηρικάζοντα* Ald.

τὸν δὲ] U Sch.syll.; *καὶ τὸν* Ald. Edd.

3. *ἡ ὄστρ.*] U Sch.syll.; *ὁ ὄ.* Ald. Edd.; om. art. MVP.

ὁμοφυὲς] UP; *ὁμοφυέα* Ald.; *ὁμοφυὴς* e conj. RConst. H. St. Sch.

ὀξύᾳ] Ald. Edd.; *ὀξείαι* U; *ὀξείᾳ* M; *ὀξίᾳ* P. Vide Lob. Phryn. p. 301.

τῷ σχήματι] UMV Sch.syll.; *τοῖς σχήμασι* Ald. Edd. o.

μέσης — κατατεινουσῶν] Sch. de conj.; *μέσης πλευροειδῶς· τῶν ἄλλων εὐθεῖ καὶ μεγάλην κατατεινουσῶν* Ald., sed circumflexus supra *εὐθεῖ* valet *εὐθειῶν*, quod cum Camotiana H. expressit; Bas. vero *εὐθεῖ*; P ut Ald., praeterquam quod *πλευροειδῶς καὶ τῶν* praebet. RConst. conj.: *καὶ ἀπὸ τῆς μέσης πλευροειδῶς τῶν ἄλλων εὐθεῖαν καὶ μεγάλην κατατεινουσῶν.* Dalec.: *μέσης πλ. τῶν ἄλλων εὐθὺ κατὰ μεγάλην κατατ.* St. dedit: *μέσης ἴνὸς πλ. — καὶ τὴν μεγάλην.* Cf. c. 17, 3.

ἐρρυτιδωμένα] cum RConst. H. St. Sch.; *ἐρυτιδωμένα* U Ald.

ἄχροον] *ἡ* add. St. *ū*

ἔνυδρον] corr. Sch.; *εὔυδρον* U; *εὔυδρον* Ald. Edd. *ᾰ̄*

οὐκ ἐπιτήδειον] *κεπιτήδειον* U.

οἰκίαν] UMVP$_2$ Sch.syll.; *οἰκείας* Ald.; *οἰκίας* P H. St. Sch.

δυσθανατᾶν] corr. Sch.syll.; *δυσθάνατον* P$_2$ Ald. Edd. o.

φασὶ] H. St. Sch.; *φισὶ* U; *φησι* Ald. MV. — P$_2$: *δυσθάνατον γὰρ καὶ ἀσύντελες οὗ ἐὰν ᾖ.*

οὗ ἂν ᾖ] correxi; *οὗ ἐὰν ᾖ* P$_2$ Ald. Edd. o.; Schn. *ἐαν* sic.

4. *ἡ — ἄρρην*] U Schn.; *ἡ — ἄρρεν* Ald. H.; *ὁ — ἄρρην* St.

τοῦ ξύλου] *τοῦ φύλλου* Vin.

τῷ] U Sch. de conj.; om. Ald. Edd.

τὸ μὲν — τὸ δὲ] U Ald. Edd.; *τὴν μὲν — τὴν δὲ* Schn.; *τὸν μὲν — τὸν δὲ* conj. Sch. in Auct.

τὸ — τῆς] *καὶ τὸ τοῦ* St.

ὀζωδέστερον καὶ πυκνότερόν ἐστιν] sic U, qui *πυκότερον* habet; *ὀζωδεστερόν ἐστι καὶ πυκνοτ.* Ald. Edd.

ἔτι δ' εὐωδέστερον] Haec verba huc transposuit Schn. Scilicet post *κίστας ποιοῦσιν* habent Ald. Edd. *ἔτι δ' εὐωδέστερον τὸ τῆς θηλείας*, quae e Plin. 16, 14 s. 25 corrigi voluit RConst.: *ἔτι δ' εὐωδέστερον τοῦ τῆς θηλείας τὸ ξύλον τῆς ἄρρενος.* Sed e Plinio colligitur ea verba alienum locum occupasse; recte videtur Sch. suspicari verba *ἔτι δ' εὐωδέστερον* a librario loco suo, i. e. post *πυκνότερόν ἐστι*, omissa ac in margine suppleta fuisse, librariumque ut locum indicaret verba sequentia *τὸ τῆς θηλείας* adjecisse.

παχύτερος] Ald. Edd.; — *ύτερον* UMVP.

λεπτότερος] corr. Schn.; *λευκότερος* Ald. Edd.

τοῦ φύλλου] cod.Cas.; corr. RConst. et Palmer. Ex. p. 592. Schn; *τοῦ ξύλου* UMV Ald. H.

μίσχον καὶ παρὰ τὴν εἰς νέωτα κάχρυν ἐφ' ἑτέρου μίσχου, χλοερὸν δὲ ὅταν ᾖ καλυκῶδες, ἐκκαλυπτόμενον δὲ ἐπίξανθον· ἡ δὲ ἄνθησις ἅμα τοῖς ἡμέροις. ὁ
5. δὲ καρπὸς στρογγύλος πρόμακρος ἡλίκος κύαμος ὅμοιος τῷ τοῦ κιττοῦ, γωνίας ἔχων ὁ ἀδρὸς πέντε οἷον ἰνῶν ἐξεχουσῶν καὶ εἰς ὀξὺ συναγομένων· ὁ δὲ μὴ ἀδρὸς ἀδιαρθρότερος· διακνιζόμενος δὲ ὁ ἀδρὸς ἔχει μίκρ' ἄττα καὶ λεπτὰ σπερμάτια ἡλίκα καὶ ὁ τῆς ἀδραφάξυος. τὸ δὲ φύλλον καὶ ὁ φλοιὸς ἡδέα καὶ γλυκέα· τὴν δὲ μορφὴν κιττῶδες τὸ φύλλον, πλὴν ἐκ προσαγωγῆς μᾶλλον ἡ περιφέρεια, κατὰ τὸ πρὸς τῷ μίσχῳ κυρτότατον, ἀλλὰ κατὰ μέσον εἰς ὀξύτερον τὴν συναγωγὴν ἔχον καὶ μακρότερον, ἔπουλον δὲ κύκλῳ καὶ κεχαραγμένον. μήτραν δ' ἔχει τὸ ξύλον μικρὰν καὶ οὐ πολὺ μαλακωτέραν τοῦ ἄλλου· μαλακὸν γὰρ καὶ τὸ ἄλλο ξύλον.

11 H. 10 St. **Cap. XI.** Τῆς δὲ σφενδάμνου καθάπερ εἴπομεν δύο γένη ποιοῦσιν, οἱ δὲ τρία· ἓν μὲν δὴ τῷ κοινῷ προσαγορεύουσι σφένδαμνον, ἕτερον δὲ ζυγίαν, τρίτον δὲ κλινότροχον ὡς οἱ περὶ Στάγειρα. διαφορὰ δ' ἐστὶ τῆς ζυγίας καὶ τῆς σφενδάμνου ὅτι ἡ μὲν σφένδαμνος λευκὸν ἔχει τὸ ξύλον καὶ εὐινότερον ἡ δὲ ζυγία ξανθὸν καὶ οὔλον· τὸ δὲ φύλλον εὐμέγεθες ἄμφω, τῇ σχίσει ὅμοιον τῷ τῆς πλατάνου τετανὸν λεπτότερον δὲ καὶ ἀσαρκότερον καὶ μαλακώτερον καὶ προμηκέστερον· τὰ δὲ σχήματ' ὅλα τ' εἰς ὀξὺ συνήκοντα καὶ οὐχ οὕτω μεσοσχιδῆ ἀλλ' ἀκροσχιδέστερα· οὐ πολύϊνα δὲ ὡς κατὰ μέγεθος. ἔχει δὲ καὶ φλοιὸν μικρῷ τραχύτερον τοῦ τῆς φιλύρας, ὑποπέλιον παχὺν καὶ πυκνότερον ἢ

κάχρυν] *κάχρην* M.

ἐφ' ἑτέρου] Ald. Edd.; *ἀφ' ἑτέρου* UMV; *ἀφ' ἑτέρας* St.; *amentumque futurum pediculo altero annexus* G.

5. *ἀδρὸς*] *ἀδρὸς* bis Ald.

ἀδιαρθρότερος] *ἀδιοριστότερος* St.

διακνιζόμενος] Vox non satis apta. Conjecit nescio quis apud RConst. *διανοιγόμενος*. Possis etiam *διασχιζύμενος* substituere.

ἀδραφάξυος] UMP; *ἀνδραφ.* Ald. Edd.; *ἀδραφ.* V.

τὴν — φύλλον] *ἡ δὲ μορφὴ τοῦ φύλλου κιττώδης.* St. In sequentibus multa tentavit Schn., et tres proposuit in Comm. correctiones. Equidem scripturam librorum leviter mutatam exhibui. Ald.: *φύλλον· πλὴν ἐκ προσαγώγης μᾶλλον ἡ περιφέρεια, καὶ τὸ πρὸς τῷ μίσχῳ κυρτότατον· ἀλλὰ κατὰ μέσον καὶ εἰς ὀξύτερον τὴν συναγώγην ἔχον καὶ μακροτέραν.* Codd. nihil variant, nisi *καὶ ἡ πρὸς τ. μ.* UMV. Folium habet figuram folii hederae; nisi quod ambitus circularis sensim fit h. e. quod ambitus sensim sensimque basin vel pedunculum versus in circuli figuram abit; maxime curvatum ea parte qua pedunculo assidet, e media vero in acutiorem et longiorem apicem productum.

ἔπουλον δὲ κύκλῳ καὶ] Ald. Edd.; *ὕπουλον* etc. P; *ἔπουλον δὲ καὶ κύκλῳ κεχ.* Sch.

πολὺ μαλακωτέραν] U Sch.syll. cum R Const. H.; *πολυμακρωτέραν* M; *πολὺ μακροτέραν* Ald. Sch.; *nec multo reliquo molliorem corpore* G.

τὸ ἄλλο ξύλον] *ἄλλως τὸ ξύλον* conj. Dalecamp.

Cap. XI.

προσαγορεύουσι] sic correxi, quoniam in sequentibus libri in accusativis consentiunt. *vocant* G.; *προσαγορεύετω* Ald. Edd. o.; *ἓν μὲν δὴ κοινῶς* St.

σφένδαμνον] UMV Ald. H. St.; *-νος* Sch.

ζυγίαν] UMV; *ζυγία* Ald. Edd. o.

κλινότροχον] Ald. Edd. o.; *κλινόστροχον* U; *lectirotariam* G.; *ἰνότροχον* Salmas. Ex. p. 359 duxit e Plinio, Schn. in h. verbo nomen *γλῖνον* latere sibi persuasit.

τῆς ζυγ.] *τοῦ ζυγ.* Cam.

τὸ δὲ φύλλον] e corr. RConst. St. Schn.; *τὸ δὲ ξύλον* UMV G. Ald. H.

ἄμφω] *ἀμφοῖν* St.

σχήματ'] Bas.; *σχίματ'* Ald. Cam.; *σχίσματ'* RConst. H. St. Sch.; *σχίμασθ'* P; *omnia ejus fissa* G.

πολύϊνα] corr. RConst. H. St. Schn.; *οὐ πολὺ· ἵνα δὲ* Ald.; *οὐ πολὺ. ἵνα δὲ* M1; *οὐ πολὺ. ἵνα δὲ* M2.

τοῦ τῆς φιλ.] Ald. Edd.; *τῶι τῆς φιλ.* U.

παχὺν] corr. Schn.; *παχὺ* Ald. Edd..

πυκνότερον] conj. Scal. et Bod.; recepit Schn.; *spissiori* G.; *πυρώτερον* U Ald.; *πυρότερον* U; *πυρρότερον* H. St.

ὁ τῆς πίτυος καὶ ἀκαμπῆ· ῥίζαι δ' ὀλίγαι καὶ μετέωροι καὶ οὖλαι σχεδὸν αἱ πλεῖσται καὶ αἱ τῆς ξανθῆς καὶ αἱ τῆς λευκῆς. γίνεται δὲ μάλιστα ἐν τοῖς 2.
ἐφύδροις ὡς οἱ περὶ τὴν Ἴδην λέγουσι, καί ἐστι σπάνιον. περὶ ἄνθους δὲ οὐκ ἤδεσαν· τὸν δὲ καρπὸν οὐ λίαν μὲν προμήκη παρόμοιον δὲ τῷ παλιούρῳ πλὴν προμηκέστερον. οἱ δ' ἐν τῷ Ὀλύμπῳ τὴν μὲν ζυγίαν ὄρειον μᾶλλον τὴν δὲ σφένδαμνον καὶ ἐν τοῖς πεδίοις φύεσθαι· εἶναι δὲ τὴν μὲν ἐν τῷ ὄρει φυομένην ξανθὴν καὶ εὔχρουν καὶ οὔλην καὶ στερεὰν ᾗ καὶ πρὸς τὰ πολυτελῆ τῶν ἔργων χρῶνται, τὴν δὲ πεδεινὴν λευκήν τε καὶ μανοτέραν καὶ ἧττον οὔλην· καλοῦσι δ' αὐτὴν ἔνιοι γλεῖνον, οὐ σφένδαμνον. . . . . καὶ τῆς ἄρρενος οὐλότερα τὰ ξύλα συνεστραμμένα, καὶ ἐν τῷ πεδίῳ ταύτην φύεσθαι μᾶλλον καὶ βλαστάνειν πρωΐτερον. ἔστι δὲ καὶ μελίας γένη δύο. τούτων δ' ἡ μὲν ὑψηλὴ καὶ εὐμή- 3.
κης ἐστὶ τὸ ξύλον ἔχουσα λευκὸν καὶ εὔινον καὶ μαλακώτερον καὶ ἀνοζότερον καὶ ἀνουλότερον· ἡ δὲ ταπεινοτέρα καὶ ἧττον εὐαυξὴς καὶ τραχυτέρα καὶ σκληροτέρα καὶ ξανθοτέρα. τὰ δὲ φύλλα τῷ μὲν σχήματι δαφνοειδῆ, πλατυφύλλου δάφνης, εἰς ὀξύτερον δὲ συνηγμένα, χαραγμὸν δέ τιν' ἔχοντα κύκλῳ καὶ ἐπακανθίζοντα· τὸ δὲ ὅλον, ὅπερ εἴποι τις ἂν φύλλον τῷ ἅμα φυλλορροεῖν, ἀφ' ἑνὸς μίσχου· καὶ περὶ μίαν οἷον ἶνα κατὰ γόνυ καὶ συζυγίαν τὰ φύλλα καθ' ἕκαστον πέφυκε, συχνῶν διεχουσῶν τῶν συζυγιῶν, ὁμοίως καὶ ἐπὶ τῆς οἴης.

ἀκαμπῆ] P, H. Schn. ac verisimiliter U; *εὐκαμπῆ* Ald.; *δυσκαμπῆ* proposuit Scalig.

τῆς ξανθῆς καὶ] mBod. e vers. G. *tam flava quam candida gerit*, et Schn.; *καὶ αἱ ξανθαὶ καὶ αἱ τῆς λ.* Ald. Bas. Cam. M; *καὶ ξάνθαι καὶ αἱ τ. λ.* H. auct. RCconst.; *καὶ ξανθαὶ ὡς αἱ τ. λ* St.

2. *ἐφ ὕδροις*] Schn. maluit *ὑφ ὕδροις*.

περὶ — ἤδεσαν] Aliter G. *de flore nasci ajunt fructum haud valde oblongum.*

πεδεινὴν] Ald. Edd. o.; *πεδιεινὴν* U; *πεδινὴν* Sch.syll. Vide ad cap. 2, 4.

γλεῖνον] mBas. Schn.; *γλῖνον* Ald. Edd.; *γλίνον* U.

καὶ τῆς ἄρρενος] Haec cum proximis non cohaerent; nusquam enim de acere mare et femina Th. quidquam dixit. Aut si statuamus, ab aliis acer mas et femineum vocata fuisse, quae supra suis nominibus distinxit, hoc loco id ipsum dictum esse debebat, eaque verba intercidisse verisimile est. Posui igitur signum lacunae.

συνεστραμμένα] MV Ald.; *καὶ συν.* H. St. Schn. — *τοῦ ἄρρ.* St.

3. *ἀνουλότερον*] dedi de conj. Schneideri; *οὐλότερον* Ald. Edd. o.

ἐπακανθίζοντα] UM Ald. Schn.; *ἐπικανθίζοντα* V; *ac subsidentia* G.; *ἐπικαθίζοντα* e corr. RConst. H. St.; *οὐκ ἐπακανθίζοντα* conj. Dalec. Bod.; *ὑπακανθίζοντα* Palmer. Ex. p. 593. Schneider vulgatam satis defendit. — *καὶ* om. St.

τὸ δὲ ὅλον κ. τ. λ.] Dedi scripturam Urbinatis, modo *ἶνα* in *ἶνα* auctore Schneidero mutato. Sensus: Totum vero, quod licet folium vocare, quia simul decidit, uni insidet pedunculo; atque circa unam tanquam venam articulatim et per paria singula foliola adnata sunt, paribus frequentibus distantibusque. De hoc loco satis probabiliter disputavit Schn. locis ejusdem argumenti cap. 12, 6. 13, 5 et 15, 4 comparatis. Nunc vero cognita Urbinatis scriptura nihil mutandum esse censeo. — *τις ἂν φύλλον· τῷ ἅμα φυλλορροεῖν — οἷον κατὰ γόνυ συζυγίαν. τὰ φύλλα δὲ καθ' ἕκαστον — συχνῶν δ' ἰσχουσῶν τῶν συζυγιῶν* Ald. et P qui *συχνὸν* dat. Quam scripturam sic mutavit H. *τὸν δὲ ὅλον κλῶνα, ὅπερ εἴποι τις, ἄφυλλον.* etc., et St. *τὸν δὲ ὅλον κλῶνα, ὅπερ εἴποι τις, μονόφυλλον, τῷ ἅμα φυλλορροεῖν* etc. Schn.: *τὸ δὲ ὅλον εἴποι τις ἂν φύλλον, τῷ ἅμα φυλλορροεῖν· ἀφ' ἑνὸς γὰρ μίσχου [καὶ περὶ μίαν οἷον] κατὰ γόνυ καὶ συζυγίαν τὰ φύλλα καθ' ἕκαστον πέφυκε, συχνὸν διϊσχουσῶν τῶν συζυγιῶν.* In Syllab. removit uncos, addidit *ἶνα*, correxit *διεχουσῶν*, reliquit vero et *γὰρ* et *συχνὸν* omisitque iterum *ὅπερ*. Equidem *συχνῶν* satis tutum esse video. Denique Gaza: *Ramulus totus quem folium unum putaveris: quum simul cuncta folia ferat: singulari pediculo et singulis foliis conjugatim: veluti per genicula: pendentibus: constat.* — *οὖσι* St.

ἔστι δὲ τῶν μὲν βραχέα τὰ γόνατα καὶ αἱ συζυγίαι τὸ πλῆθος ἐλάττους, τῶν δὲ τῆς λευκῆς καὶ μακρὰ καὶ πλείους· καὶ τὰ καθ' ἕκαστον φύλλα μακρότερα καὶ στενότερα τὴν δὲ χρόαν πρασώδη. φλοιὸν δὲ λεῖον ἔχει καπυρὸν δὲ καὶ λεπτὸν
4. καὶ τῇ χρόᾳ πυρρόν. πυκνόρριζον δὲ καὶ παχύρριζον καὶ μετέωρον. καρπὸν δὲ οἱ μὲν περὶ τὴν Ἴδην οὐχ ὑπελάμβανον ἔχειν οὐδ' ἄνθος· ἔχει δ' ἐν λοβῷ λεπτῷ καρπὸν καρυτηρὸν ὡς τῶν ἀμυγδαλῶν ὑπόπικρον τῇ γεύσει. φέρει δὲ καὶ ἕτερ' ἄττα οἷον βρύα καθάπερ ἡ δάφνη, πλὴν στρυφνότερα· καὶ ἕκαστον καθ' αὑτὸ σφαιροειδὲς ὥσπερ τὰ τῶν πλατάνων· τούτων δὲ τὰ μὲν περὶ τὸν καρπὸν, τὰ δ' ἀπηρτημένα πολὺ, καὶ τὰ πλεῖστα οὕτω. φύεται δὲ ἡ μὲν λεία περὶ τὰ βαθυάγκη μάλιστα καὶ ἔφυδρα, ἡ δὲ τραχεῖα καὶ περὶ τὰ ξηρὰ καὶ πετρώδη. ἔνιοι δὲ καλοῦσι τὴν μὲν μελίαν τὴν δὲ βουμέλιον, ὥσπερ οἱ περὶ
5. Μακεδονίαν. μεῖζον δὲ καὶ μανότερον ἡ βουμέλιος διὸ δ καὶ ἧττον οὔλον. φύσει δὲ τὸ μὲν πεδεινὸν καὶ τραχὺ τὸ δ' ὀρεινὸν καὶ λεῖον· ἔστι δὲ ἡ μὲν ἐν τοῖς ὄρεσι φυομένη εὔχρους καὶ λεία καὶ στερεὰ καὶ γλίσχρα ἡ δ' ἐν τῷ πεδίῳ ἄχρους καὶ μανὴ καὶ τραχεῖα. τὸ δ' ὅλον ὡς εἰπεῖν τὰ δένδρα ὅσα καὶ ἐν τῷ πεδίῳ καὶ ἐν τῷ ὄρει φύεται, τὰ μὲν ὀρεινὰ εὔχροά τε καὶ στερεὰ καὶ λεῖα γί-

βραχέα] corr. Scal. e vers. G., St. Schn.; *τραχέα* Ald. H. U; *τραχεῖα* P.

μακρὰ] mBod. Schn.; *μακραὶ* U; *μακραὶ* Ald. H. St.; *μακρὰς* M. — *τῶν δὲ τῆς λείας* St.

πλείους] *πλείω* mBod. male.

στενότερα] U Sch. syll. sed errore *στενότερον* scriptum; *στενώτερα* Ald. Edd. o.

πρασώδη] *ποώδη* conj. Herm. Barb. et Ruell.

καπυρὸν] U Sch. syll.; *καὶ πυρὸν* Ald.; *καὶ πυκνὸν* mBas. St. Sch. Vo.

πυρρόν] UMmBas. St. Sch.; *πυρόν* Ald. H.

καὶ μετέωρον] Schn. cum Bod. *καὶ* [*οὐ*] *μετέωρον* scripsit, cum antea 6, 5 *μελίαν βαθύρριζον* esse dictum sit. At primum isto loco referuntur dicta accolarum montis Idae, quae opinionibus aliorum saepe contraria sunt; dein locus ille vitiis non carere et impeditus esse videtur. Fortasse ibi quoque *παχύρριζα* pro *βαθύρριζα* legendum. Hinc mutare non ausus sum.

4. *λοβῷ λεπτῷ καρπὸν*] U Sch. syll.; *λοβῷ καρπὸν λεπτὸν* Ald. Edd. o.

ἔχει] *ἔχειν* U, *ν* in ras.

βρύα] Interpretes referunt haec ad intermesoentias insectorum punctura ortas.

στρυφνότερα] Dalec. voluit *στυφνότερα* vel *στυφρότερα* scribi. Cf. ad 5, 2, 11.

αὐτὸ] *αὐτὸν* U sed *ν* in ras.

πλεῖστα] corr. RConst. H. St. Schn.; *πλεκτὰ* UMV Ald. Vide ad 1, 6, 9.

λεία] P, Sch.; *λεῖα* Ald.

βαθυάγκη] Schn. syll.; *βαθυάγη* U; *βαθὺ* MV; *βαθύσχια* Ald. H. St.; *βαθεῖα* Schn. cont.; *βαθύχοιλα* conj. Dalecamp.; *locis concavis* G.

ἔφυδρα] Ald. Edd.; *ὕφυδρα* Schn.: *madidis* G.

τὴν δὲ βουμέλιον] om. H.; *τ. δὲ βουμελίαν* UMV Ald. Edd. o.; *τὴν μὲν βουμελίαν τὴν δὲ μελίαν* St.

οἱ π.] *ἡ π.* M.

μεῖζον δὲ καὶ μανότερον] dedi partim de conjectura; *μεῖζον δὲ καὶ μανοτέρα* MV; *μανοτέρα* sed post *α* extremum rasura U, unde olim *μανότερον* fuisse conjicio; *μείζων δὲ καὶ μακροτέρα* Ald. H. St.; *μείζων δὲ καὶ μανοτέρα* Schn.; *major et rarior corpore* G.

βουμέλιος] UMV; *βουμελία* Ald. Edd. o. Vide ad 4, 8, 2.

οὔλον] Schn. suspicatur *ξύλον* excidisse. Noli credere.

5. *καὶ τραχὺ τὸ δ' ὀρεινὸν καὶ λεῖον*] Sic haec correxit Schn. transpositis verbis *τραχὺ* et *λεῖον*, quo haec cum sequentibus coeant; *καὶ λεῖον τὸ δ' ὀρεινὸν καὶ τραχὺ* Ald. Edd. — *πεδινὸν* M Sch.; *πεδεινὸν* Ald. Edd.; *πεδεινὸν*, *ει* in rasura U. Cf. ad cap. 2, 4.

εὔχρους] U H. St.; *εὔχρως* M Ald. Schn. — Hoc loco *τραχεῖα* et *λεῖα* transponere jubet Bod.

καὶ στερεὰ] om. G.

καὶ λεῖα] correxit Moldenh. p. 125 not. m., Sch.; *καὶ λευκὰ* Ald. Edd.; *candidaeque* G.

ὀξύη πτελέα] mB. St. Sch.; *ὀξύη πτελέα* U; *ὀξὺ πτελέα* M; *ὀξυπτελέα* Ald. H.; *scissima ulmus* G.

νεται, καθάπερ ὀξύη πτελέα τὰ ἄλλα· τὰ δὲ πεδεινὰ μανότερα καὶ ἀχρούστερα καὶ χείρω, πλὴν ἀπίου καὶ μηλέας καὶ ἀχράδος ὡς οἱ περὶ τὸν Ὄλυμπόν φασι· ταῦτα δ' ἐν τῷ πεδίῳ κρείττω καὶ τῷ καρπῷ καὶ τοῖς ξύλοις· ἐν μὲν γὰρ τῷ ὄρει τραχεῖς καὶ ἀκανθώδεις καὶ ὀζώδεις εἰσὶν ἐν δὲ τῷ πεδίῳ λειότεροι καὶ μείζους καὶ τὸν καρπὸν ἔχουσι γλυκύτερον καὶ σαρκωδέστερον· μεγέθει δὲ αἰεὶ μείζω τὰ πεδεινά.

ΚΕΦ. XII. Κρανείας δὲ τὸ μὲν ἄρρεν τὸ δὲ θῆλυ, ἣν δὴ καὶ θηλυκρανείαν καλοῦσιν. ἔχουσι δὲ φύλλον μὲν ἀμυγδαλῇ ὅμοιον πλὴν λιπωδέστερον καὶ παχύτερον φλοιὸν δ' ἰνώδη λεπτόν· τὸ δὲ στέλεχος οὐ παχὺ λίαν ἀλλὰ παραφύει ῥάβδους ὥσπερ ἄγνος· ἐλάττους δὲ ἡ θηλυκρανεία καὶ θαμνωδέστερόν ἐστιν. τοὺς δὲ ὄζους ὁμοίως ἔχουσιν ἄμφω τῇ ἄγνῳ καὶ κατὰ δύο καὶ κατ' ἀλλήλους· τὸ δὲ ξύλον τὸ μὲν τῆς κρανείας ἀκάρδιον καὶ στερεὸν ὅλον, ὅμοιον κέρατι τὴν πυκνότητα καὶ τὴν ἰσχύν, τὸ δὲ τῆς θηλυκρανείας ἐντεριώνην ἔχον καὶ μαλακώτερον καὶ κοιλαινόμενον διὸ καὶ ἀχρεῖον εἰς τὰ ἀκόντια. τὸ δ' ὕψος τοῦ ἄρρενος δώδεκα μάλιστα πηχέων ἡλίκη τῶν σαρισσῶν ἡ μεγίστη· τὸ γὰρ ὅλον στέλεχος ὕψος οὐκ ἴσχει. φασὶ δ' οἱ μὲν ἐν τῇ Ἰδῃ τῇ τρωάδι τὸ μὲν ἄρρεν ἄκαρπον εἶναι τὸ δὲ θῆλυ κάρπιμον. πυρῆνα δ' ὁ καρπὸς ἔχει παραπλήσιον ἐλάᾳ καὶ ἐσθιόμενος γλυκὺς καὶ εὐώδης· ἄνθος δὲ ὅμοιον τῷ τῆς ἐλάας, καὶ ἀπανθεῖ δὲ καὶ καρποφορεῖ τὸν αὐτὸν τρόπον τῇ ἐξ ἑνὸς μίσχου πλείους ἔχειν, σχεδὸν δὲ καὶ τοῖς χρόνοις παραπλησίως. οἱ δ' ἐν Μακεδονίᾳ καρποφορεῖν μὲν ἄμφω φασὶν τὸν δὲ τῆς θηλείας ἄβρωτον εἶναι· τὰς ῥίζας δ' ὁμοίας ἔχει

12 II
11 St.

2.

τὰ ἄλλα] UM; καὶ τἄλλα Ald. H. St.; καὶ τἆλλα Schn.; *reliquaeque* G.

πεδεινὰ] Ald. Edd; πεδεινὰ, alterum ε in ras. U; πεδινὰ M Sch.

μηλέας] corr. Scal. RConst. Palmer. Ex. p. 593 (qui vero μελέας). Sch.; μελέας St.; μελίας UMV Ald. H.

καὶ ἀχράδος] om. G.

πεδεινά] Ald. Edd. o.; πεδινὰ, post ι ras., U.

ΚΕΦ. XII.

κρανείας] κρανείας cum ϊ superscr. U; περὶ κρανίας mU.

θηλυκρανείαν] Ald. Edd.; θηλυκράνειαν U Sch.

ἀμυγδαλῇ] Sch.; —δάλῃ Ald. Edd. Vitium subesse post RConst. monuit Schn. Folia enim corni haud similia amygdalinis. μηλέᾳ Dalec., κλήθρᾳ Clloffm. substituit.

λιπωδέστερον] λιπωδεέστερον M.

παχύτερον] πλατύτερον e conj. Bodaei St.

ἰνώδη λεπτὸν] UMV Ald.; ἰν. καὶ λ. H. St. Schn.

ὥσπερ] U Sch.syll.; ὡς Ald. Edd.;

ἐλάττους δὲ ἡ θηλ.] St. Schn.; ἐλάττους· ἡ δὲ θηλ. U; ἐλάττους ἡ θηλ. Ald. H.

ὁμοίως] U Schn. in syll.; ὁμοίους Ald. Edd. o.; *perinde ac amerina* G.

θηλυκρανεία] θηλυκρανεία cum ϊ superscr. U.

τὸ δὲ ξύλον] τῶν δὲ ξύλων U.

κρανείας] κρανείας cum ι superscr. U.

θηλυκρανείας] θηλυκρανείας cum ι superscr. U.

ἐντεριώνην] ἐντεριόνην, post ο ras. U.

καὶ κοιλ.] ἢ καὶ κοιλ. St.

2. σαρισσῶν] Edd. post H.; σαρισῶν UMV Ald.

τὸ γὰρ ὅλον — ἴσχει] Post στέλεχος inseruit μεῖζον St. auct. RConst.; ὅλον mutavit in τῆς θηλείας Dal. Vitium subesse vix dubium; nescio an γὰρ in δὲ mutato tollatur.

ἐλάᾳ] ἐλαίας St.; ἐλαίᾳ Ald. H. Sch.

καὶ ἀπανθεῖ — παραπλησίως] Difficultates, quibus haec verba premuntur, exposuit Schn. Si haec non ad comparationem cum *olea* pertinent, v. ἄμφω est interserenda. — καρποφορεῖν Cam.

ὁμοίας] tacite correxerat Schn.; in Syll. restituit ὁμοίως, quod Ald. Edd. habent; ὁμοίας sed ς in corr. U.

ταῖς ἄγ.] corr. Sch.; τοῖς ἄγ. Ald. Edd. et U sed correctum.

ἔχει] U Sch.syll.; ἔχειν Ald. Edd. o.

ταῖς ἄγνοις ἰσχυρὰς καὶ ἀνωλέθρους. γίνεται δὲ καὶ περὶ τὰ ἔφυδρα καὶ οὐκ
3. ἐν τοῖς ξηροῖς μόνον· φύεται δὲ καὶ ἀπὸ σπέρματος καὶ ἀπὸ παρασπάδος. κέδρον δὲ οἱ μέν φασιν εἶναι διττὴν, τὴν μὲν λυκίαν τὴν δὲ φοινικῆν, οἱ δὲ μονοειδῆ καθάπερ οἱ ἐν τῇ Ἰδῃ. παρόμοιον δὲ τῇ ἀρκεύθῳ, διαφέρει δὲ μάλιστα τῷ φύλλῳ· τὸ μὲν γὰρ τῆς κέδρου σκληρὸν καὶ ὀξὺ καὶ ἀκανθῶδες τὸ δὲ τῆς ἀρκεύθου μαλακώτερον· δοκεῖ δὲ καὶ ὑψηλοφυέστερον εἶναι ἡ ἄρκευθος· οὐ μὴν ἀλλ' ἔνιοί γε οὐ διαιροῦσι τοῖς ὀνόμασιν ἀλλ' ἄμφω καλοῦσι κέδρους, πλὴν παρασημασίᾳ κέδρου ὀξύκεδρου· ὀζώδη δ' ἄμφω καὶ πολυμάσχαλα καὶ ἐπεστραμμένα ἔχοντα τὰ ξύλα· μᾶλλον δ' ἡ μὲν ἄρκευθος ἔχει μικρὰν καὶ πυκνὴν καὶ ὅταν κοπῇ ταχὺ σηπομένην· ἡ δὲ κέδρος τὸ πλεῖστον ἐγκάρδιον καὶ ἀσαπὲς, ἐρυθροκάρδια δ' ἄμφω· καὶ ἡ μὲν τῆς κέδρου εὐώδης ἡ δὲ τῆς ἑτέρας οὔ.
4. καρπὸς δ' ὁ μὲν τῆς κέδρου ξανθὸς μύρτου μέγεθος ἔχων εὐώδης ἡδὺς ἐσθίεσθαι. ὁ δὲ τῆς ἀρκεύθου τὰ μὲν ἄλλα ὅμοιος μέλας δὲ καὶ στρυφνὸς καὶ ὥσπερ ἄβρωτος· διαμένει δ' εἰς ἐνιαυτὸν, εἶθ' ὅταν ἄλλος ἐπιφυῇ ὁ περυσινὸς ἀποπίπτει. ὡς δὲ οἱ ἐν Ἀρκαδίᾳ λέγουσι τρεῖς ἅμα καρποὺς ἴσχει, τόν τε περυσινὸν οὔπω πέπονα καὶ τὸν προπερύσινον ἤδη πέπονα καὶ ἐδώδιμον καὶ τρίτον τὸν νέον ὑποφαίνει. ἔφη δὲ Σάτυρος καὶ κομίσαι τοὺς ὀρεοτύπους αὐτῷ ἀνανθεῖς ἄμφω. τὸν δὲ φλοιὸν ὅμοιον ἔχει κυπαρίττῳ τραχύτερον δέ· ῥίζας

ἔφυδρα] U Sch.syll.; *ἔννδρα* Ald. Edd. o.

μόνον] e conj. RConst. apposui cum Schn., petitum e vers. Gazae. — *οὐκ* om. H. St.

καὶ ἀπὸ σπ.] U; *καὶ* om. ceteri.

3. *κέδρον*] *κάδρον*, *ρ* in rasura U.

φοινικῆν] Edd. post H.; *φοινίκην* UM; *φοινικήν* Ald. Videtur *φοινικικὴν* scribendum esse. Vide ad 9, 2, 3.

μαλακώτερον] Ald. Edd; *μαλακοίτερον*, in rasura *ω* apparet U; *μαχρότερον* conj. Sch.

ἡ ἄρκ.] Ald. H. St. Sch.syll.; *ἢ ἀρκ.* e corr. RConst. Schn.cont. Spreng. adnotavit a Theophrasto diversas arbores confusas esse, quod in plantis adeo similibus facile fieri potuit.

παρασημασίᾳ κέδρου] dedi de conj.; *παρασήμως κέδρον* Ald. Edd. o.; *παρασήμως τὴν κέδρον* U; *π. τόν κ.* M; *παρασιμως τὸν κ.* V. Equidem hoc loco, quem unum testimonium vocis *παρασήμως* Lexica afferunt, haud utar ad eam tuendam. Imo articulus qui in codicibus sequitur sed parum commodus est indicat aliam vocem hic fuisse. Quam ego posui *παρασημασίᾳ*, i. e. *adjectione notae*, si non vera at verae proxima est.

ἐπεστραμμένα] Ald. Edd.; *ἀπεστραμμένα* U.

μᾶλλον — σηπομένην] UMV Ald.; *ἄνθος* pro *ἄρκευθος* V; *vel potius junipero parva spissaque materies, brevique putrescens, cum cesa fuerit* G. Omnes ab editoribus et interpretibus allatae correctiones frustraneae. RConst.: *ξύλα, μᾶλλον δ' ἡ μὲν ἄρκευθος· ἔχει μήτραν καὶ μὴ πυκνήν.* Dalec. in H. pl. p. 38 *ἀρκ. ἢ ἔχει μήτραν καὶ πυκνήν.*, in annot. ad h. l. *ἀρκ. ὕλην ἔχει μικρὰν καὶ μὴ πυκνήν.* Heins.: *ἄρκευθος· ἔχει δὲ μήτραν καὶ πυκνήν.* St.: *ἄρκευθος ἔχει τὴν μητραν καὶ πυκνήν.* Schn.cont. posuit scripturam Aldinae, in Syll. *ἔχει* [*μήτραν*] *μικρὰν καὶ π.* correxit. Denique Spr. in marg. exempl. sui edit. Schn. *ἔχει μήτραν πυκνὴν καὶ ὅταν κοπῇ οὐ ταχὺ σηπομένην*, quae vertit etiam. Vitia hujus loci in propatulo sunt. Nescio an longe a vero absit haec emendatio: *μήτραν δ' ἡ μὲν ἄρκευθος ἔχει μικρὰν καὶ μαλακὴν.*

ἐρυθροκάρδια — οὔ] omisit Gaza, item *ξανθὸς — ἔχων.*

4. *ἔχων εὐώδης*] Post h. v. addunt *εὐειδὴς* UP; *εὐειδὴς* V; *pulcher* G., ortum e varietate scripturae.

ὁ δὲ τῆς] MV Ald. Edd.; *τῷ δὲ τῆς* H.

ἄλλα ὅμοιος] *ἄλλο ὁμοίως* U.

περυσινὸς] *περύσινος* Sch.cont., correctum in Syll.

προπερύσινον] *πρότερον περυσινὸν* Ps.

ἐδώδιμον] *εὐώδιμον* Cam.

ἔφη δὲ — αὐτῷ ἀνανθεῖς] sic Ald. Edd. UMV nomen *Σάτυρος* post *αὐτῷ* habent; M *δὲ κεκομίσαι* sed in altero apparet syllabam *κε* ex emendatione esse; *δὲ καὶ κομ.* U.

ἔχει] dedi de conj. Schn. mutato tamen infinitivo in indicativum; *ἐδύκει* Ald. Edd. o.

δὲ μανὰς ἀμφότεραι καὶ ἐπιπολαίους. φύονται περὶ τὰ πετρώδη καὶ χειμέρια καὶ τούτους τοὺς τόπους ζητοῦσι. μεσπίλης δ' ἐστὶ τρία γένη, ἀνθηδὼν σατάνειος ἀνθηδονοειδὴς, ὡς οἱ περὶ τὴν Ἰδην διαιροῦσι. φέρει δὲ ἡ μὲν σατάνειος τὸν καρπὸν μείζω καὶ λευκότερον καὶ χαυνότερον καὶ τοὺς πυρῆνας ἔχοντα μαλακωτέρους· αἱ δ' ἕτεραι ἐλάττω τέ τι καὶ εὐωδέστερον καὶ στρυφνότερον ὥστε δύνασθαι πλείω χρόνον θησαυρίζεσθαι. πυκνότερον δὲ καὶ τὸ ξύλον τούτων καὶ ξανθότερον τὰ δ' ἄλλα ὅμοιον. τὸ δ' ἄνθος πασῶν ὅμοιον ἀμυγδαλῇ πλὴν οὐκ ἐρυθρὸν ὥσπερ ἐκεῖνο ἀλλ' ἐγχλωρότερον. μεγέθει μέγα τὸ δένδρον καὶ περίκομον. φύλλον δὲ τὸ μὲν ἐπὶ . . . . . πολυσχιδὲς δὲ καὶ ἐν ἄκρῳ σελινοειδὲς, τὸ δ' ἐπὶ τῶν παλαιοτέρων πολυσχιδὲς σφόδρα καὶ ἐγγωνοειδὲς μείζοσι σχίσμασι, τετανὸν ἰνῶδες λεπτότερον σελίνου καὶ προμηκέστερον καὶ τὸ ὅλον καὶ τὰ σχίσματα, περικεχαραγμένον δὲ ὅλον· μίσχον δ' ἔχει λεπτὸν μακρόν· πρὸ τοῦ φυλλορροεῖν δ' ἐρυθραίνεται σφόδρα. πολύρριζον δὲ τὸ δένδρον καὶ βαθύρριζον δι' ὃ καὶ χρόνιον καὶ δυςώλεθρον. καὶ τὸ ξύλον ἔχει πυκνὸν καὶ στερεὸν καὶ ἀσαπές. φύεται δὲ καὶ ἀπὸ σπέρματος καὶ ἀπὸ παρασπάδος. νόσημα δὲ αὐτῶν ἐστιν ὥστε γηράσκοντα σκωληκόβρωτα γίνε-

ἀμφότεραι] dedi de corr.; *ἀμφοτέρας* U Sch.syll.; *ἀμφοτέρους* Ald. H.; *ἀμφοτέροις* St.; *ἀμφοτέρας* Schn.cont.

φύονται περὶ] UMV Sch.syll.; *φ. δὲ περὶ* Ald. Edd.

πετρώδη] U mBas. St. Sch.; *πτερώδη* MV Ald. H.

τόπους] *τρόπους* M.

5. *μεσπίλης*] *μισπίλης* P.

ἀνθηδὼν] *ἀνδιδὼν* P_2.

σατάνειος] UMV Ald.; *itatanea* G.; *σητάνειος* P_2 H. St. Sch.

ἀνθηδονοειδὴς] de corr. Sch.; *ἀνδηδωνοειδὴς* cum RConst. H. St.; *ἀνθηνοειδὴς* UMV PP_2 Ald.

σατάνειος] UMV Ald.; *σητάνειος* P_2 H. St. Sch.; *satana* G.

καὶ χαυνοτ.] *καὶ* om. H.

ἐλάττω τέ τι] dedi conj.; *ἐλάττω εἰσὶ* U Ald. Edd,; *ἐλάττω ἔτι* Schn.

εὐωδέστερον καὶ στρυφνότερον] corr. Dalec. Schn.; *ευωδέστεραι καὶ φρυφνότεραι* Ald. H. St.; *εὐωδέστερον καὶ ϛιφρύτερον*, sed post ϛ una litera erasa U; —*καὶ στρυφνότερον* M; *οἱ δ' ἑτέρων ἐλάττω εἰσὶ καὶ εὐωδέστεροι καὶ στρυφνότεροι* RConst.

ἐκεῖνο] sic correxi; *ἐκεῖνα* Ald. Edd.; *ἐκείνης* cum RConst. Schn.

ἐγχλωρότερον] U Sch.syll.; *ἔγχλωρον* ceteri.

περίκομον] mBas. H. St. Sch.; *gyroque comatur* G.; *περίνομον* Ald.

τὸ μὲν . . . πολυσχιδὲς δὲ—ἐγγωνοειδὲς] sic fere U, e quo verba *τὸ δ' ἐπὶ—ἐγγωνοειδὲς* in ceteris omissa accesserunt; ab init. *τὸ μὲν ἐπὶ λυσχιδὲςδὲ* UMV: *τὸ μὲν ἐπιλυσχιδὲς* omisso *δὲ* Ald.; *τὸ μὲν πολυσχιδὲς* cum RConst. H. St. Sch.cont.; *τὸ μὲν ἐπὶ τῶν νέων δισχιδές τε καὶ ἐν ἄκρῳ—ἐγγωνοειδὲς* Sch.syll. At neque vox *δισχιδές* neque comparatio *σελίνου* vera est: quum vero dein *πολυσχιδὲς σφόδρα* et *μείζοσι σχίσμασι* dicat, colligas etiam juniorum arborum folia dicta esse multifida. Divinando sic mihi locum refingo: *φύλλον δὲ τὸ μὲν ἐπὶ τῶν νέων περιφερὲς τὸ σχῆμα πολυσχιδὲς δὲ καὶ ἐν ἄκρῳ σικυοειδὲς* etc.

σχίσμασι] U, de conj. Scal. RConst. St. Schn.; *σχήμασι* Ald. H.

καὶ τὰ σχίσματα] U; *κατασχίσματα* Ald. MV H.; *κατασχίσμασι* cum RConst. St.; *κατὰ τὰ σχίσματα* Schn. Sensus: *ac magis elongatum et totum et incisurae, totum vero circumserratum.*

περικεχαραγμένον δὲ ὅλον] ex emend. Scalig. Edd., sed St. et Schn. *δὲ ὅλον* abjecerunt; *περικεκαθαρμένον δὲ ὅλον* U; *περικεκαρμένον δὲ ὅλον* MV Ald. — Gaza totum hunc locum magis etiam lacunosum vel habuit vel vertit, quam in Aldina exstat. — Ceterum non constat, ad quamnam *μεσπίλης* speciem haec pertineant; interpretes ad *ἀνθήδονα* referunt, sed Th. id non dixit. Mihi vere in verbis *μεγέθει — τὸ δένδρον* mendum residere, vel ante ea excidisse aliquid videtur; forsan ordo est turbatus, id quod ad verba *πολύρριζον — παρασπάδος* monuit Schn., qui ea sede sua mota et post v. *ἔχοντα μαλακωτέρας* posita vult.

σθαι· καὶ οἱ σκώληκες μεγάλοι καὶ ἡδίους ἢ οἱ ἐκ τῶν δένδρων τῶν ἄλλων. τῶν δ' οἰῶν δύο γένη ποιοῦσι, τὸ μὲν δὴ καρποφόρον θῆλυ τὸ δὲ ἄρρεν ἄκαρπον· οὐ μὴν ἀλλὰ διαφέρουσι τοῖς καρποῖς τῷ τὰς μὲν στρογγύλον τὰς δὲ προμήκη τὰς δ' ὠοειδῆ φέρειν. διαφέρουσι δὲ καὶ τοῖς χυλοῖς· ὡς γὰρ ἐπὶ τὸ πᾶν εὐωδέστερα καὶ γλυκύτερα τὰ στρογγύλα τὰ δ' ὠοειδῆ πολλάκις ἐστὶν ὀξέα
7. καὶ ἧττον εὐώδη. φύλλα δ' ἀμφοῖν κατὰ μίσχον μακρὸν ἰνοειδῆ πεφύκασι στοιχηδὸν ἐκ τῶν πλαγίων πτερυγοειδῶς, ὡς ἑνὸς ὄντος τοῦ ὅλου λοβοὺς δὲ ἔχοντος ἐσχισμένους ἕως τῆς ἰνός· πλὴν διεστᾶσιν ἀπ' αὐτῶν ὑπόσυχνον τὰ κατὰ μέρος· φυλλοβολεῖ δὲ οὐ κατὰ μέρος ἀλλὰ ὅλον ἅμα τὸ πτερυγῶδες. εἰσὶ δὲ περὶ μὲν τὰ παλαιότερα καὶ μακρότερα πλείους αἱ συζυγίαι περὶ δὲ τὰ νεώτερα καὶ βραχύτερα ἐλάττους, πάντων δὲ ἐπ' ἄκρου τοῦ μίσχου φύλλον περιττὸν ὥστε καὶ πάντ' εἶναι περιττά. τῷ δὲ σχήματι ὁαφνοειδὴ τῆς λεπτοφύλλου, πλὴν χαραγμὸν ἔχοντα καὶ βραχύτερα καὶ οὐκ εἰς ὀξὺ τὸ ἄκρον συνῆκον ἀλλ' εἰς περιφερέστερον. ἄνθος δὲ ἔχει βοτρυῶδες ἀπὸ μιᾶς κορύνης ἐκ
8. πολλῶν μικρῶν καὶ λευκῶν συγκείμενον. καὶ ὁ καρπὸς ὅταν εὐκαρπῇ βοτρυώδης· πολλὰ γὰρ ἀπὸ τῆς αὐτῆς κορύνης ὥστ' εἶναι καθάπερ κηρίον. σκωληκόβορος ἐπὶ τοῦ δένδρου ὁ καρπὸς ἄπεπτος ὢν ἔτι γίνεται μᾶλλον τῶν μεσπίλων καὶ ἀπίων καὶ ἀχράδων· καίτοι πολὺ στρυφνότατος. γίνεται δὲ καὶ αὐτὸ τὸ δένδρον σκωληκόβρωτον καὶ οὕτως αὐαίνεται γηράσκον· καὶ ὁ σκώληξ ἴδιος ἐρυθρὸς δασύς. καρποφορεῖ δ' ἐπιεικῶς νέα· τριετὴς γὰρ εὐθὺς φύει. τοῦ μετοπώρου δ' ὅταν ἀποβάλῃ τὸ φύλλον εὐθὺς ἴσχει τὴν καχρυώδη κορύνην λι-

6. *ἡδίους*] corr. Schn.; *ἰδίους* sed prius *ι* corr. U., *ἰδίους* MV; *ἴδιοι* Ald. Edd. Sprengelio *ἴδιοι* praeferendum esse videtur. Exc. P$_2$: *καὶ οἱ σκώληκες μείζους καὶ τῶν ἄλλων ἴδιοι.*

τῶν δ' οἰῶν] MVP, qui *οἴων* habent; *τῶν δ' οἴης* U; *τῶν δ' οὐῶν* Ald. Edd.; *τῶν δ' ὀῶν* Schn.cont.; *τῆς δ' ὄης* idem Syll. Quod ad 1, 3, 3 de formis *ῥόα* et *ῥοιὰ* e libris mss. probare conati sumus, idem in hanc vocem cadere videtur, quam nunc *ὄα* nunc *οἷα* scribere codices suadent.

δὴ om. P.

τὸ δὲ ἄρρεν] *τ. δ. ἄρεν* U; *τὰ δ' ἄρρενα* M.

δ' ὠοειδῆ φ.] *δὲ ὡς εἴ δε φ.* M.

ὀξέα] *ὀξεῖα* Cam.

7. *φύλλα — στοιχηδὸν*] ita dedi codicum verbis paullum mutatis. *φύλλον δ' ἀμφοῖν τὸ μὲν μίσχον μακρὸν ἰνοειδῆ. πεφύκασι δὲ στοιχηδὸν* Ald. et UMV, altero *δὲ* omisso; *φύλλον δ' ἀμφοῖν τὸν μὲν μίσχον ἔχει μ. ἰν. πεφ. δὲ στοιχ.* H. St. et Schn. qui cum Bod. *φύλλα* scripsit.

πτερυγοειδῶς] e corr. RConst H. St. Sch.; *πτερυγοειδῶν* Ald. — Dein *τοῦ* om. P.

ἀπ' αὐτῶν] U Ald. H. St.; *ἀφ' ἑαυτῶν* corr. Scal. Schn.

ὑπόσυχνον τὰ κ. μ.] U, de conj. Sch.; *ὑπόσυχνον τοὺς κ. μ.* M; *ὑπὸ συχνοῦ τοῦ κ. μ.* Ald. H.; *ὑπὸ συχνοῦ, οὐ κ. μ.* St. cum RConst.

τὰ παλαιότερα — βραχύτερα] U, Sch.syll.; *τὰ παλαιότερα καὶ βραχύτερα* MV Sch.cont.; *τὰ ἐπιπολαιότερα καὶ βραχύτερα* Ald. H.; *εἰσὶ δ' οἱ μὲν ἐπὶ παλαιοτέροις βραχύτεροι κ. ἐλ.* St.; *sunt in vetustioribus brevioribusque pauciora* G.

ἐπ' ἄκρου τοῦ μίσχου] U, de conj. St. Sch.; *ἐπ' ἄκρων οὐ τοῦ μ.* M.; *ἐπ' ἄκρων τὸ τοῦ μ.* Ald.; *ἐπ' ἄκρων τὸ τοῦ ὄσχου* H. cum RConst.

βραχύτερα] corr. RConst. H. Schn.; *βραχύτερον* UMV Ald. St. — *ὡς περιφ.* St.

πολλῶν μικρῶν καὶ λ.] V Ald. Sch.; *πολλῶν μ. καὶ λ.* UM; *πολλῶν μίσχων λευκῶν* H. St. cum RConst.

8. *πολλὰ γὰρ*] *ἄνθη* i. u. addit St.

σκωληκόβορος] corr. Sch.syll.; *σκωληκόβορον* UMV; *σκωληκόβρωτον* Ald. H.; *σκωληκόβρωτος* RConst. St. Sch.

ἄπεπτος] Cam. Edd. post H.; *ἄπεστος* UP MV Ald. Bas. — Dein *μισπίλων* P.

αὐαίνεται] *ἀαίνεται* U.

νέα] *νέος* V.

τριετὴς] corr. Schn.; *τριέτὲς* U; *τριέτες* M; *τριετὲς* Ald. Edd. Cf. ad 2, 6, 7.

φύει — εὐθὺς] om. St.

ἀποβάλῃ] Schn.syll.; *ἀποβάλλῃ* Ald. Edd.

παρὰν καὶ ἐπωδηκυΐαν ὡσὰν ἤδη βλαστικὸν, καὶ διαμένει τὸν χειμῶνα. ἀνά- 9.
κανθον δέ ἐστι καὶ ἡ οἴη καὶ ἡ μεσπίλη· φλοιὸν δ' ἔχει λεῖον ὑπολίπαρον, ὅσα-
περ μὴ γεράνδρυα, τὴν δὲ χρόαν ξανθὸν ἐπιλευκαίνοντα· τὰ δὲ γεράνδρυα τρα-
χὺν καὶ μέλανα. τὸ δὲ δένδρον εὐμέγεθες ὀρθοφυὲς εὔρυθμον τῇ κόμῃ· σχε-
δὸν γὰρ ὡς ἐπὶ τὸ πολὺ στροβιλοειδὲς σχῆμα λαμβάνει κατὰ τὴν κόμην ἐὰν μή
τι ἐμποδίσῃ. τὸ δὲ ξύλον στερεὸν πυκνὸν ἰσχυρὸν εὔχρουν, ῥίζας δὲ οὐ πολ-
λὰς μὲν οὐδὲ κατὰ βάθους ἰσχυρὰς δὲ καὶ παχείας καὶ ἀνωλέθρους ἔχει. φύε-
ται δὲ καὶ ἀπὸ ῥίζης καὶ ἀπὸ παρασπάδος καὶ ἀπὸ σπέρματος· τόπον δὲ ζητεῖ
ψυχρὸν ἔνικμον, φιλόζωον δ' ἐν τούτῳ καὶ δυσώλεθρον· οὐ μὴν ἀλλὰ καὶ φύεται
ἐν τοῖς ὄρεσιν.

Cap. XIII. Ἴδιον δὲ τῇ φύσει δένδρον ὁ κέρασός ἐστι· μεγέθει μὲν μέγα· 13 H.
12 St.
καὶ γὰρ εἰς τέτταρας καὶ εἴκοσι πήχεις· ἔστι δ' ὀρθοφυὲς σφόδρα· πάχος δὲ
ὥστε καὶ δίπηχυν τὴν περίμετρον ἀπὸ τῆς ῥίζης ἔχειν. φύλλον δ' ὅμοιον τῷ
τῆς μεσπίλης σκληρὸν δὲ σφόδρα καὶ πλατύτερον, ὥστε τῇ χροιᾷ πόρρωθεν
φανερὸν εἶναι τὸ δένδρον. φλοιὸν δὲ τὴν λειότητα καὶ τὴν χρόαν καὶ τὸ πά-
χος ὅμοιον φιλύρᾳ, δι' ὃ καὶ τὰς κίστας ἐξ αὐτοῦ ποιοῦσιν ὥσπερ καὶ ἐκ τοῦ
τῆς φιλύρας. περιπέφυκε δὲ οὗτος οὔτε ὀρθοφυὴς οὔτε κύκλῳ κατ' ἴσον, ἀλλ'
ἑλικηδὸν περιείληφε κάτωθεν ἄνω προσάγων ὥσπερ ἡ διαγραφὴ τῶν φύλλων

βλαστικὸν] Ald. Edd. Schn.syll. *βλαστικὴν* scribi jussit. Sed pertinet ad arborem ipsam.

9. *οἴη*] Ald.; *οὔη* St.; *ὄη* Schn. Dein *ὡς καὶ ἡ μ.* St.

ὅσαπερ μὴ] de corr. Bod. et Dalec. Sch.; *ὥσπερ τὰ* Ald.; *ὥστε τὰ* M.

τραχὺν] *τραχὺν* U; *τραχὺ* MV.

στροβιλοειδὲς] Ald. Cam.; *στροβυλοειδὲς* Bas.

κόμην] Ald. H. St.; *κορυφὴν* Schn. e vers. G. *suo vertice.*

μή τι] UPM Sch.syll.; *μή τις* Ald. Edd. o.

εὔχρουν] om. Ald. H. St.; *ἰσχυρὸν εὔχρουν* U Sch.syll.; *εὔχρουν ἰσχυρόν* MVPG Sch.cont.

Cap. XIII.

τέτταρας] U Sch.syll.; *τέσσαρας* Ald. Edd.

πήχεις] St. et Schn. praeeunte Meurs. Theophr. p. 90 addunt *αὔξεται* ex Athenaeo 2. p. 50, qui hunc Theophrasti locum excerptum retulit.

ἔστι] Ald. Edd.; *ἔστιν, ν* in rasura U; *ἔτι* cum RConst. Sch.

ὀρθοφυὲς] Ald. Edd.; *ὀρθοφυὴς* V.

ἀπὸ τῆς ῥ.] UMV Ald. Schn.; *πρὸ τῆς ῥ.* H. St.

ὅμοιον] *ἔχει* ex Athenaei l. l. adjici vult Meurs. Th. p. 90.

πλατύτερον] Athenae l. l. habet *παχύτερον*, quod fortasse verum; magis enim convenit cum eo quod praecedit, *σκληρόν*.

χροιᾷ] Cf. Lobeck. ad Phryn. p. 496.

ὥστε — δένδρον] Scalig. monuit haec non praecedentibus convenire; foliorum duritiem et latitudinem non esse causam, quod arbor colore e longinquo conspicua sit. Propterea Schn. haec transposita et olim sic scripta fuisse suspicatur: *πλατύτερον· φλοιοῦ δὲ τὴν λειότητα καὶ τὴν χρόαν τοιαύτην ὥστε . . δένδρον· καὶ τὸ πάχος . . φιλύρᾳ· διὸ.* Si scriptura recte habet sic explico, quod a duritie et crassitie foliorum eorum etiam colorem pendere significaverit; atque tunc *παχύτερον* reponendum erit.

φλοιὸν] U Sch.syll.; *φλοιοῦ* Ald. H.; *φλοιὸς* St. — Dein *πάχον* Cam.

κίστας] Ald. Edd.; *κιστὰς* U.

αὐτοῦ] corr. RConst. Edd.; *αὐτῶν* Ald.

ὥσπερ] U Sch.syll.; *ὡς* ceteri.

ἐκ τοῦ] corr. RConst. Edd.; *ἐκ τῶν* Ald.

περιπέφυκε — περιπεφυκὸς] Locum hunc satis difficilem dedi ex emendatione a Schneidero in Syll. praescripta, ad scripturam Urbinatis facta.

ἑλικηδὸν] V et U, sed in hoc *ι* fuit antea *η*; St. H. Schn..; *ἐκιδὸν* M Ald.; *mucronatim* G.

περιείληφε] e conj. RConst; *περιειλεῖται* dedit St.

λοπιζόμενος] U Sch.syll.; *λεπιζόμενον* Ald. H. St.; *λιπιζόμενος* Sch.

καὶ λοπιζόμενος οὕτως ἐκδέρεται, ἐκείνως δ' ἐπίτομος γίνεται καὶ οὐ δύναται·
2. μέρος δ' αὐτοῦ τι τὸν αὐτὸν τρόπον ἀφαιρεῖται κατὰ πάχος σχιζόμενον λεπτὸν ὡς ἂν φύλλον, τὸ δὲ λοιπὸν προσμένειν τε δύναται καὶ σώζει τὸ δένδρον ὡσαύτως περιπεφυκός. περιαιρουμένου δὲ ὅταν λοπᾷ τοῦ φλοιοῦ συνεκραίνει καὶ τότε τὴν ὑγρότητα· καὶ ὅταν ὁ ἔξω χιτὼν περιαιρεθῇ μόνον ὁ ὑπολιπὴς ἐπιμελαίνεται ὥσπερ μυξώδει ὑγρασίᾳ καὶ πάλιν ὑποφύεται τῷ δευτέρῳ ἔτει χιτὼν ἄλλος ἀντ' ἐκείνου πλὴν λεπτότερος. πέφυκε καὶ τὸ ξύλον ὅμοιον ταῖς ἰσὶ τῷ φλοιῷ στρεπτῷ ἑλιττομένῳ· καὶ οἱ ῥάβδοι φύονται τὸν αὐτὸν τρόπον εὐθύς· τοὺς ὄζους δ' αὐξανομένου συμβαίνει τοὺς μὲν κάτω ἀεὶ ἀπόλλυσθαι τοὺς δ'
3. ἄνω αὔξειν. τὸ δ' ὅλον οὐ πολύοζον τὸ δένδρον ἀλλ' ἀνοζότερον πολὺ τῆς αἰγείρου. πολύρριζον δὲ καὶ ἐπιπολαιόρριζον οὐκ ἄγαν δὲ παχύρριζον· ἡ δ' ἐπιστροφὴ καὶ τῆς ῥίζης καὶ τοῦ φλοιοῦ τοῦ περὶ αὐτὴν ἡ αὐτή. ἄνθος δὲ λευκὸν ἀπίῳ καὶ μεσπίλῃ ὅμοιον ἐκ μικρῶν ἀνθῶν συγκείμενον κηριῶδες. ὁ δὲ καρπὸς ἐρυθρὸς ὅμοιος διοσπύρῳ τὸ σχῆμα τὸ δὲ μέγεθος ἡλίκον κύαμος, πλὴν τοῦ διοσπύρου μὲν ὁ πυρὴν σκληρὸς τοῦ δὲ κεράσου μαλακός. φύεται δ' ὅπου
4. καὶ ἡ φίλυρα, τὸ δὲ ὅλον ὅπου ποταμοὶ καὶ ἔφυδρα. φύεται δὲ καὶ ἡ ἀκτὴ μάλιστα παρ' ὕδωρ καὶ ἐν τοῖς σκιεροῖς, οὐ μὴν ἀλλὰ καὶ ἐν τοῖς μὴ τοιούτοις· θαμνῶδες δὲ ῥάβδοις ἐπετείοις αὐξανομέναις μέχρι τῆς φυλλορροίας εἰς μῆκος

οὕτως] Ald.; *οὗτος* e corr. U.

ἐκείνως δ' ἐπ.] corr. Schn.syll.; *ἐκεῖνος* Ald. Edd. et e corr. U; *ἐκεῖνος· ἄλλως δὲ ἐπ.* Schn. in cont. In libro Vinar. *ἐκρίνος* scriptum unde Coraes conjecit *εὐχρινῶς*.

2. *γίνεται — ἀφαιρεῖται*] UMV Sch.syll.; *γίνεται· — μέρος αὐτοῦ — ἀφαιρεῖσθαι* Ald. Edd. o.; *οὐ* i. u. Sch.cont.; *δ'* solus dat U.

προσμένειν] *προμένειν* St. — idem post *πάχος* addidit *ἀλλὰ*.

σώζει] UMV Sch.syll.; *σώζειν* Ald. Edd. o.

ὡσαύτως περιπεφυκός] *ὡς αὐτὸς περιπεφυκὼς* St.

λοπᾷ] corr. Schn.; *λοιπᾶ*, *ι* in rasura U; *λοιπούς* MV; *λοιπὰ* Ald.; *λιπᾷ* auctore Scalig. H. St. et Vo.

συνεκραίνει καὶ τότε τὴν ὑγρότητα] Ald.; *τὴν ὑγρότητα* U quoque habere adnotatum. *συνεκρέει τότε καὶ ἡ ὑγρότης* correxit Schn.

ὑπολιπὴς] UMV Sch.; *ὑπολειπὴς* Ald. Edd. — Dein *μιξώδει* P.

ἐπιμελαίνεται ὥσπερ] Schn. e conj.; *ἐ. περ* MV; *ἐπιμελαίνεταί πως* Ald. H. St.

ἔτει] UP Bas. Schn.; *ἔτι* Ald. Cam. H. St.

λεπτότερος] *οὗτος* add. St. — Ald. et H. post *πέφυκε* incidunt.

ἰσὶ] *εἰσὶ* M.

στρεπτῷ ἑλιττομένῳ] Ald.; *στρεπτῷ ἑλιττομένωι* U; *στρεπτῷ ἑλιττόμενον* H. St.; *στρεπτὸν καὶ ἑλιττόμενον* Schn.cont. In Auct. idem *ὁμοίως τῷ φλοιῷ ταῖς ἰσὶ στρεπτὸν καὶ ἑλιττόμεν.* vel *στρεπτῶς ἑλιττόμενον* scribendum esse conjicit.

δ' αὐξανομένου] *δὲ* quod est in Ald. Edd. om. MV; *αὐξανομένου* scripsi e conj. Schneideri in Auct.; *αὐξανομένους* MV Ald.

κάτω] Vo.; corr. Scal. H. St. Sch.; *καὶ τῶι* UM; *καὶ τῷ* Ald.

αὔξειν] *αὐξανομένους* V.

3. *ἡ δ' ἐπιστροφὴ*] U Sch.syll.; *ἡ δὲ στροφὴ* Ald. Edd.

κηριῶδες] H. St. Sch. ex Athenaeo; *κηρῶδες* UMV Ald.

ἡλίκον] U Sch.syll.; *ἡλίκος* Ald. Edd.

πυρὴν — μαλακός] Dal. conj.; *πυρὴν μαλακός — κεράσου σκληρός*.

φίλυρα] U; *φιλύρα* Ald. Edd.

ὅλον ὅπου] *ὅλον ὅλου* H.

ἔφυδρα] U Sch.syll.; *ἔνυδρα* ceteri.

4. *ἀκτὴ*] Ald. Edd. Eundem accentum ex U notatum reperio C. 1, 1, 4, ac praebent loci Hippocratis et Galeni laudati a Lobeckio Paralip. 327. Ac cum eo convenit adjectivum *ἄκτινος* 5, 3, 3. Sch. hic et ubique *ἀκτῇ* scripsit.

τοῖς μὴ τοιούτοις] U et cum G. Scal. RConst. H. St. Sch.; *μὴ* om. Ald.

θαμνῶδες δὲ] dedi de conj. Schneideri in Auct.; *θαμνώδε*, sequitur rasura superscripto *σι* dein *τε* U; *θαμνώδεις τε* MV; *θαμνώδης* Ald. Edd.

αὐξανομέναις] UMV Sch.syll.; *αὐξανομένη* Ald. Edd.

φυλλορροίας] Ald. Edd.; *φυλλοροίας* U; *φυλορροίας* Schn.

εἶτα μετὰ ταῦτα εἰς πάχος· τὸ δὲ ὕψος τῶν ῥάβδων οὐ μέγα λίαν ἀλλὰ καὶ μάλιστα ὡς ἐξάπηχυ· τῶν δὲ στελεχῶν πάχος τῶν γερανδρύων ὅσον περικεφαλαίας, φλοιὸς δὲ λεῖος λεπτὸς καπυρός· τὸ δὲ ξύλον χαῦνον καὶ κοῦφον ξηρανθὲν, ἐντεριώνην δὲ ἔχον μαλακὴν, ὥστε δι' ὅλου καὶ κοιλαίνεσθαι τὰς ῥάβδους, ἐξ ὧν καὶ τὰς βακτηρίας ποιοῦσι τὰς κούφας. ξηρανθὲν δὲ ἰσχυρὸν καὶ ἀγήρων ἐὰν βρέχηται κἂν ᾖ λελοπισμένον· λοπίζεται δὲ αὐτόματον ξηραινόμενον. ῥίζας δὲ ἔχει μετεώρους οὐ πολλὰς δὲ οὐδὲ μεγάλας. φύλλον δὲ τὸ μὲν καθ' ἕκαστον μαλακὸν, πρόμηκες ὡς τὸ τῆς πλατυφύλλου δάφνης μεῖζον δὲ καὶ πλατύτερον καὶ περιφερέστερον ἐκ μέσου καὶ κάτωθεν, τὸ δ' ἄκρον εἰς ὀξὺ μᾶλλον συνῆκον κύκλῳ δ' ἔχον χαραγμόν· τὸ δὲ ὅλον, περὶ ἕνα μίσχον παχὺν καὶ ἰνώδη ὡσὰν κλωνίον τὰ μὲν ἔνθεν τὰ δὲ ἔνθεν κατὰ γόνυ καὶ συζυγίαν πεφύκασι τῶν φύλλων διέχοντα ἀπ' ἀλλήλων, ἓν δὲ ἐξ ἄκρου τοῦ μίσχου. ὑπέρυθρα δὲ τὰ φύλλα ἐπιεικῶς καὶ χαῦνα καὶ σαρκώδη· φυλλορροεῖ δὲ τοῦτο ὅλον διόπερ φύλλον ἄν τις εἴποι τὸ ὅλον. ἔχουσι δὲ καὶ οἱ κλῶνες οἱ νέοι γωνοειδῆ τινα. τὸ δ' ἄνθος λευκὸν ἐκ μικρῶν λευκῶν πολλῶν ἐπὶ τῇ τοῦ μίσχου σχίσει κηριῶδες· εὐωδίαν δὲ ἔχει λειριώδη ἐπιβαρεῖαν. ἔχει δὲ καὶ τὸν καρπὸν ὁμοίως πρὸς ἑνὶ μίσχῳ παχεῖ βοτρυώδη δέ· γίνεται δὲ καταπεπαινόμενος μέλας, ὠμὸς δὲ ὢν ὑμφακώδης· μεγέθει δὲ μικρῷ μείζων ὀρόβου·

ὡς ἐξάπηχυ] U Sch.syll.; *ὡς* om. cett.

πάχος] *πάρος* M.

καπυρός] corr. Schn.syll.; *καὶ ποσ : : ρος* U sec. Amati, *καὶ πυραὸς* U sec. Bekker.; *καὶ πυρρὸς* V St.; *καὶ πυορὸς* M; *καὶ πυρὸς* Ald.; *καὶ πυκνὸς* auctore Scal. H. Schn. Mihi vestigia in U aliud indicare videntur, quod divinando nondum assequi contigit.

ἐντεριώνην] *ἐντεριόνην* o in rasura U.

διόλου καὶ κοιλ.] Ald. Edd.; Schn. *καὶ* uncis seclusit, in Syll. vero idem lunulis inclusum ante *δι' ὅλου* posuit.

ἐξ ὧν] U Schn.; *ἐξ οὗ* MV Ald. Edd.

ἀγήρων] e corr. RConst. H. St. Schn.; *ἀγήρω* UMV Ald.

κἂν ᾖ] MV Ald. Sch.; *καὶ ᾖ* H. St. cum Scal. qui etiam *κἂν βρέχηται* scribi voluit. *Siccata valida est et inoffensa aquis etiam disquamata si sit* G. In re dubia nihil ausus sum mutare.

λελοπισμένον] UMV Schn.syll.; *λελεπισμένον* Ald. Edd.

λοπίζεται] Schn.syll.; *λεπίζεται* Ald. Edd.

3. *χαραγμὸν*] de corr. RConst. H. St. Schn.; *παραγμὸν* UMV; *σπαραγμὸν* Ald.; *ambitum serratum* G.

ἕνα μίσχον] mBas. H. St. Schn.; *ἓν μισχον* UM Ald.

πάχυν καὶ ἰνώδη] correxit Schn. e. v. Gazae *circa unum pediculum crassum nervosumque; παχὺ καὶ ἰνῶδες* Ald. Edd.

πεφύκασι — ἀλλήλων] *πεφύκασι διεχόντων τῶν φύλλων ἀπ' ἀλλήλων* St.

ὅλον] Cum RConst. *ἅμα* ut necessarium i. u. addidit Schn. At non est necessarium quum ejus notio insit in vocabulo *ὅλον*.

γωνοειδῆ] U Ald. Edd. o. V ad 1, 10, 1; *quaedam ad geniculorum speciem* G., quem Schn. *γονατοειδῆ* legisse colligit.

6. *μικρῶν λευκῶν*] UMV Ald. Sch.; *μισχων λ.* H. St.; *e peciolis permultis candidis* G. Cf. cap. 12, 7 extr.

ἐπιβαρεῖαν] corr. Schn.; *ἐπειβαρεῖαν* Ald. MV et U ubi *ει* in rasura; *ὑποβαρεῖαν* auctore RConst. H. St.

βοτρυώδη] *βοτρυώδει* P.

γίν. δὲ] UMV Ald. Sch.; *δὲ* om. H. St.

καταπεπαινόμενος] dedi de conj.; *καὶ πεπαινόμενος* V Ald. Edd. o. Vocem *καταπεπαίνω* etsi non exstat in lexicis, nihil tamen offensionis habere credo, cum et *καταπέττω* dicatur; significat *maturitate ad finem perveniente*.

μείζων] *μεῖζον* P.

τὴν ὑγρασίαν δὲ οἰνώδη τῇ ὄψει ἢ τὰς χεῖρας τελείου ἀναβάπτονται καὶ τὰς
1. κεφαλάς· ἔχει δὲ καὶ τὰ ἐντὸς σησαμοειδῆ τὴν ὄψιν. πάρυδρον δὲ καὶ ἡ ἰτέα καὶ πολυειδές· ἡ μὲν μέλαινα καλουμένη τῷ τὸν φλοιὸν ἔχειν μέλανα καὶ φοινικοῦν, ἡ δὲ λευκὴ τῷ λευκόν. καλλίους δὲ ἔχει τὰς ῥάβδους καὶ χρησιμωτέρας εἰς τὸ πλέκειν ἡ μέλαινα ἡ δὲ λευκὴ καπυρωτέρας. ἔστι δὲ καὶ τῆς μελαίνης καὶ τῆς λευκῆς ἔνιον γένος μικρὸν καὶ οὐκ ἔχον αὔξησιν εἰς ὕψος ὥσπερ καὶ ἐπ' ἄλλων τοῦτο δένδρων οἷον κέδρου φοίνικος. καλοῦσι δ' οἱ περὶ Ἀρκαδίαν οὐκ ἰτέαν ἀλλὰ ἑλίκην τὸ δένδρον· οἴονται δ' ὥσπερ ἐλέχθη καὶ καρπὸν ἔχειν αὐτὴν γόνιμον.

14 H. 13 St. Cap. XIV. Ἔστι δὲ τῆς πτελέας δύο γένη καὶ τὸ μὲν ὀρειπτελέα καλεῖται τὸ δὲ πτελέα· διαφέρει δὲ τῷ θαμνωδέστερον εἶναι τὴν πτελέαν εὐαυξέστερον δὲ τὴν ὀρειπτελέαν. φύλλον δὲ ἀσχιδὲς περικεχαραγμένον ἡσυχῇ προμηκέστερον δὲ τοῦ τῆς ἀπίου τραχὺ δὲ καὶ οὐ λεῖον. μέγα δὲ τὸ δένδρον καὶ τῷ ὕψει καὶ τῷ μεγέθει. πολὺ δ' οὐκ ἔστι περὶ τὴν Ἴδην ἀλλὰ σπάνιον· τόπον δὲ ἔφυδρον φιλεῖ. τὸ δὲ ξύλον ξανθὸν καὶ ἰσχυρὸν καὶ εὔινον καὶ γλίσχρον· ἅπαν γὰρ καρδία· χρῶνται δ' αὐτῷ καὶ πρὸς θυρώματα πολυτελῆ καὶ χλωρὸν μὲν εὔτομον ξηρὸν δὲ δύστομον. ἄκαρπον δὲ νομίζουσιν, ἀλλ' ἐν ταῖς κωρυκίσι τὸ κόμμι καὶ θηρ' ἄττα κωνωποειδῆ φέρει. τὰς δὲ κάγρυς ἰδίας ἴσχει τοῦ μετοπώρου

τὴν ὑγρασίαν — τὰς κεφαλάς] „Locus adhuc mire vitiosus" Schn. in Auct. Lenissime mutatum ita exscripsi ut sensum quendam habeat, non quo ita scriptum olim fuisse censeam. *τὴν ὑγρασιὰν δὲ οἰνώδη τῇ ὄψει καὶ τὰς χεῖρας τελείους. ἀναβλάστει δὲ καὶ τὰς κεφαλὰς* U; *χεῖρας δὲ τελείους· ἀναβλαστεῖ* MV Ald. In voce *ἀναβλάστει* latere *βάπτει* primus suspicatus est Scalig. RConst. corr. *τὰς χεῖρας δὲ τέλειος ὢν βάπτει καὶ τ. κ.* Dalecamp. *ὄψει καρπὸς τέλειος ἀνίησι τὰς χεῖρας ἀναβάπτουσαν καὶ τὰς κ.*; H. *τὰς χεῖρας δὲ τέλειος βάπτει καὶ τὰς κεφαλάς*· et sic St. sed in fine *καὶ τὰς τρίχας τῆς κεφαλῆς*; Schn. *χεῖρας δὲ τέλειος ὢν ἀναβάπτει, βλάπτει δὲ καὶ τὰς κεφαλάς.* Praeterea H. St. Sch. invitis libris post *ὄψει* addiderunt *ἀνίησι*. Videtur *ἔχει* vel subintelligendum vel addendum esse. Omnia post *ὄψει* omisit G. Summa vitii in v. *τελείους* esse videtur, quare olim in hanc incidi conjecturam: *τῇ ὄψει ἔχει ἢ τὰς χεῖρας οἱ τελειούμενοι βάπτονται καὶ τὰς κεφαλάς*. Cf. Bod. ad h. l. Lob. Aglaoph. p. 654. Sed fateor vitium mihi videri altius sedere.

7. *ἰτέα καὶ*] *καὶ* om. cont. Schn.

ἡ μὲν μέλ.] St. Schn.; *μὲν* abest ab Ald. H.

μέλανα καὶ] *μ. ἢ καὶ* St.

τῷ λευκὸν] e corr. RConst. H. St. Schn.; *τῷ λευκῷ* M Ald.

καπυρωτέρας] correxi praeeunte Schn. in Auct.; *καὶ πυρωτέρας* U; *καὶ πυροτέρας* MV Ald.; *καὶ πυκνοτέρας* Vo. RConst. H. Sch.; *καὶ πυκνοτέρους* St.

ἔνιον γ.] UMVP Sch.syll.; *ἴδιον γ.* Ald. Edd. o.

ἑλίκην] corr. Sch.syll; *ἐλίκην* P2 et U, ubi in margine *ἑλίκη*; *ἐλλικὴν* M; *ἐλικὴν* Ald. Edd.

τὸ δ.] *τοῦτο δ.* St.

δ' ὥσπερ] *δ'* om. M.

Cap. XIV.

δὲ τῆς πτ.] U; *δὲ καὶ τῆς πτ.* Ald. Edd. o.

γένη. καὶ τὸ] *: ἕνη. τῷ* M.

ὀρειπτελέα] *ὀρειπτ.* Ald. Cam.

εὐαυξέστερον] Edd. post H.; *εὐαξέστ.* UMV Ald.

τραχὺ δὲ καὶ οὐ λεῖον] Verba *οὐ λεῖον* vitiosa esse censeo; dictio enim plane insulsa. *τραχὺ δὲ οὐ λίαν* St.

5. φύεται δὲ καὶ τὸ δένδρον περὶ τὸν Ἀκεσίνην ποταμόν. ἔστι δὲ καὶ ἕτερον δένδρον καὶ τῷ μεγέθει μέγα καὶ ἡδύκαρπον θαυμαστῶς καὶ μεγαλόκαρπον· καὶ χρῶνται τροφῇ τῶν Ἰνδῶν οἱ σοφοὶ καὶ μὴ ἀμπεχόμενοι. ἕτερον δὲ οὗ τὸ φύλλον τὴν μὲν μορφὴν πρόμηκες τοῖς τῶν στρουθῶν πτεροῖς ὅμοιον, ἃ παρατίθενται παρὰ τὰ κράνη, μῆκος δὲ ὡς διπηχυαῖον. ἄλλο τέ ἐστιν οὗ ὁ καρπὸς μακρὸς καὶ οὐκ εὐθὺς ἀλλὰ σκολιὸς ἐσθιόμενος δὲ γλυκύς. οὗτος ἐν τῇ κοιλίᾳ δηγμὸν ἐμποιεῖ καὶ δυσεντερίαν δι' ὃ Ἀλέξανδρος ἀπεκήρυξε μὴ ἐσθίειν. ἔστι δὲ καὶ ἕτερον οὗ ὁ καρπὸς ὅμοιος τοῖς κρανέοις. καὶ ἕτερα δὲ πλείω καὶ διαφέροντα τῶν ἐν τοῖς Ἕλλησιν ἀλλ' ἀνώνυμα. θαυμαστὸν δ' οὐδὲν τῆς ἰδιότητος· σχεδὸν γὰρ ὥς γε δή τινές φασιν οὐθὲν ὅλως τῶν δένδρων οὐδὲ τῶν ὑλημάτων οὐδὲ τῶν ποιωδῶν ὅμοιόν ἐστι τοῖς ἐν τῇ Ἑλλάδι πλὴν ὀλίγων.

4. *ἐκ τῶν κλ.*] *ἐκ τοῦ κλ.* St.

ὥσπερ εἴρηται] Cf. 1, 7, 3.

δρύφακτον] MVP et U, qui *δρύφάκτον* exhibet; *δρύφραχτον* Ald. Edd. o.

οὗ δὴ καὶ] dedi e conj.; *αἷς δ. κ.* UMV Ald.; *ὑφ' αἷς δ. κ.* H. St. Sch.; *quo etiam morari homines solent* G. Ceterum *καὶ* om. M1.

καὶ ἄφυλλοι] dedi e conj. Dalecampii; *καὶ δίφυλλοι* UV Ald. St. Sch.; *δίφυλλοι* omisso *καὶ* M H.

καὶ τὴν] UMV Sch.; *καὶ* om. Ald. H.

ἔνια] P2 Ald. H. Sch.; *ἐνίοις* St.; *ἐνίοτε* conj. Dalec. Schn. mavult *ἐνίαις*.

ἑξήκοντα — τετταράκοντα] *ἓξ — τεττάρων* corr. Salm. Ex. 715.

ἐρέβινθον] corr St. Sch.; *ἐρίβινθος* Ald. H.

ὅμοιον δὲ] *μορφὴν* add. St.

σύκῳ] UMVPP2 Ald. St. Sch.; *σύκη* Bas.; *σύκᾳ* Cam. H.

ὀλίγον] *καὶ* anteposuit Sch.

θαυμαστῶς] *θαῦμαστὸν* P.

Ἕλληνες] *ἑλλῆνες* U; *ἕληνες* P2.

φύεται δὲ καὶ] *καὶ* solus habet U.

5. *καὶ μὴ ἀμπεχόμενοι*] P Schn.syll.; *καὶ μὴ ἀπεχόμενοι* UMV; *καὶ ἀπεχόμενοι* Ald. Edd.; *οὐκ ἀμπεχόμενοι* conj. Salmas. Ex. p. 210; *γρ. ἀπεχόμενοι* P in marg.

τοῖς τ. στρ.] *καὶ* anteposuit St.

ἐν τῇ] *γὰρ τῇ* P.

ἐμποιεῖ] U Sch.syll.; *ποιεῖ* Ald. Edd.

δι' ὃ Ἀλέξανδρος] UMV; *διὸ καὶ ὁ Ἀ.* Ald. Edd.; *διὸ καὶ Ἀ.* Sch.syll.

ἔστι δὲ καὶ] UMV; *καὶ* om. Ald. Edd.; *ἔτι δὲ καὶ* Schn.

κρανέοις] Ald. H.; *κρανείοις* St.; *κρανίοις* Schn. in Syll., i. e. fructibus *τῆς κρανείας*, quem sequitur Spr. qui vertit *Cornellen.*

οὐθὲν ὅλ.] U P Sch.syll.; *οὐδὲν ὅλ.* Ald. Edd.

ὅμοιόν ἐστι] *ὅμοιον δ' ἐστὶ* MP.

ἴδιον δὲ καὶ ἡ ἐβένη τῆς χώρας ταύτης· ταύτης δὲ δύο γένη, τὸ μὲν εὔξυλον 6.
καὶ καλὸν τὸ δὲ φαῦλον. σπάνιον δὲ τὸ καλὸν θάτερον δὲ πολύ. τὴν δὲ χρόαν
οὐ θησαυριζομένη λαμβάνει τὴν εὔχρουν ἀλλ' εὐθὺς τῇ φύσει. ἔστι δὲ τὸ δέν-
δρον θαμνῶδες ὥσπερ ὁ κύτισος. φασὶ δ' εἶναι καὶ τέρμινθον, οἱ δ' ὅμοιον 7.
τερμίνθῳ, ὃ τὸ μὲν φύλλον καὶ τοὺς κλῶνας καὶ τἆλλα πάντα ὅμοια ἔχει τῇ
τερμίνθῳ τὸν δὲ καρπὸν διάφορον· ὅμοιον γὰρ ταῖς ἀμυγδαλαῖς. εἶναι γὰρ καὶ
ἐν Βάκτροις τὴν τέρμινθον ταύτην καὶ κάρυα φέρειν ἡλίκα ἀμύγδαλα διὰ τὸ μὴ
μεγάλα καὶ τῇ ὄψει δὲ παρόμοια, πλὴν τὸ κέλυφος οὐ τραχύ, τῇ δ' εὐστομίᾳ
καὶ ἡδονῇ κρείττω τῶν ἀμυγδάλων. διὸ καὶ χρῆσθαι τοὺς ἐκεῖ μᾶλλον. ἐξ 8.
ὧν δὲ τὰ ἱμάτια ποιοῦσι τὸ μὲν φύλλον ὅμοιον ἔχει τῇ συκαμίνῳ τὸ δὲ ὅλον
φυτὸν τοῖς κυνορόδοις ὅμοιον. φυτεύουσι δὲ ἐν τοῖς πεδίοις αὐτὸ κατ' ὄρχους,
διὸ ὃ καὶ πόρρωθεν ἀφορῶσι ἄμπελοι φαίνονται. ἔχει δὲ καὶ φοίνικας ἔνια
μέρη πολλούς. καὶ ταῦτα μὲν ἐν δένδρου φύσει. φέρει δὲ καὶ σπέρματα ἴδια 9.
τὰ μὲν τοῖς χεδροποῖς ὅμοια τὰ δὲ τοῖς πυροῖς καὶ ταῖς κριθαῖς. ἐρέβινθος μὲν
γὰρ καὶ φακὸς καὶ τἆλλα τὰ παρ' ἡμῖν οὐκ ἔστιν· ἕτερα δ' ἐστὶν ὥστε παρα-
πλήσια ποιεῖν τὰ ἐψήματα καὶ μὴ διαγιγνώσκειν ὡς φασιν ἂν μή τις ἀκούσῃ.
κριθαὶ δὲ καὶ πυροὶ καὶ ἄλλο τι γένος ἀγρίων κριθῶν ἐξ ὧν καὶ ἄρτοι ἡδεῖς καὶ
χόνδρος καλός. ταύτας οἱ ἵπποι ἐσθίοντες τὸ πρῶτον διεφθείροντο, κατὰ μι-
κρὸν δὲ οὖν ἐθισθέντες ἐν ἀχύροις οὐδὲν ἔπασχον. μάλιστα δὲ σπείρουσι τὸ 10

6. *ἐβένη*] Ald. Edd.; *ἐβέννη* UP.
ταύτης] seclusit Sch.syll.
θάτερον] H. St. Sch.; *θατέρου* MP Ald.
θησαυριζομένη] corr. H. St. Sch.; *θησαυριζομένην* UMV Ald.; *recondita* G. An *θησαυριζόμενον* scriptum fuit?
τὸ δένδρον θαμνῶδες] Sic libri. Schn., quod apud Plinium 12, 4 s. 9 plura leguntur, quae ex hoc Theophrasteo loco ducta esse videntur, hunc mutilum et lacunosum ratus sic interpolavit: *δένδρον ἔχον τὸ στέλεχος λεῖον, τὸ δὲ ἕτερον θαμνῶδες.* Sed debebat scribere: *ἔστι δὲ τὸ μὲν δένδρον* vel *δενδρῶδες* etc. ut in Commentario praecepit. Sed minime hoc probari potest; etenim Theo. si genera hoc modo distinguere voluisset eam differentiam ab initio exposuisset, sic fere: *τὸ μὲν δενδρῶδες εὔξυλον καὶ καλὸν, τὸ δὲ θαμνῶδες ὥσπερ ὁ κύτισος φαῦλον.* Praeterquam quod Plinius saepe veris falsa immiscuit, vix dubium quin iis quae a Theophrasto petivit alia etiam et ab aliis auctoribus dicta adtexuerit.
κύτισος] mBas. H. St. Sch., G. et Plin.; *ὁ τιχὸς* in ras. quatuor literarum vestigia U, *ὁ κυντικὸς* MV Ald.

7. *τέρμινθον*] *τούρμινθον* ac dein *τουρμίνθῳ* P₂.
ὅμοιον τερμίνθῳ] UMV Schn.; *τῇ* interserunt Ald. H., *τι τῇ* St.
ταῖς ἀμυγδαλαῖς] *τοῖς ἀμυγδάλοις* St.
ἡλίκα ἀμύγδαλα] U Sch.syll.; *τὰ* interserunt P₂ Ald. Edd.
διὰ — μεγάλα] *διότι μὴ* — St. Sch. ut spuria seclusit. Equidem pro corruptis habeo.
πλὴν τὸ κέλυφος — εὐστομίᾳ] U; Sch. syll. om. *οὐ*; om. ceteri.
ἡδονῇ] *ἡ ἡδονὴ* U Ald. Edd.; *τῇ ἡδονῇ* Sch.syll.
κρείττω] dedi de conj.; *κρειττων* Ald. Edd.
διὸ καὶ χρῆσθαι] H. St. Schn.; *διὸ κεχρῆσθαι* UMP₂ Ald.

8. *τὸ μὲν φ.*] *ταῦτα μὲν φ.* St.
τὸ δὲ ὅλον φυτὸν] *calyce pomi cynorrhodo* Plin. 12 s. 13, unde Bod. *τὸν δὲ κύτινον* vel *τὸν δὲ κύτινον τοῦ μήλου* conjecit: illud dedit St.
ὄρχους] *ὀρχούς* U; *αὐτὰ* pro *αὐτὸ* scripsit St.

9. *τἆλλα τὰ*] Ald. Edd.; *τὰ* om. UMV. — Laudat haec Apollon. Hist. Mir. s. 32.
διαγιγνώσκειν] U; *διαγιν.* Ald. Edd.
κριθαὶ] Hic nonnulla excidisse ostendit Schn. ex 8. 4, 2.
ἄλλο τι] M St. Sch.; *ἄλλ' ὅτι* Ald. H.
οἱ ἵπποι] *τῶν Ἑλλήνων* add. mBas. Sch. cum G.

10. *μάλιστα δὲ*] U Sch.syll.; *μᾶλλον δὲ* Ald. Edd.

καλούμενον ὄρυζον ἐξ οὗ τὸ ἔψημα. τοῦτο δὲ ὅμοιον τῇ ζειᾷ καὶ περιπτισθὲν οἷον χόνδρος εὔπεπτον δὲ, τὴν ὄψιν πεφυκὸς ὅμοιον ταῖς αἴραις καὶ τὸν πολὺν χρόνον ἐν ὕδατι, ἀποχεῖται δὲ οὐκ εἰς στάχυν ἀλλ' οἷον φόβην ὥσπερ ὁ κέγχρος καὶ ὁ ἔλυμος. ἄλλο δὲ ὃ ἐκάλουν οἱ Ἕλληνες φακόν· τοῦτο δὲ ὅμοιον μὲν τῇ
11. ὄψει καὶ τὸ βούκερας, θερίζεται δὲ περὶ Πλειάδος δύσιν. διαφέρει δὲ καὶ αὕτη ἡ χώρα τῷ τὴν μὲν φέρειν ἔνια τὴν δὲ μὴ φέρειν· ἡ γὰρ ὀρεινὴ καὶ ἄμπελον ἔχει καὶ ἐλάαν καὶ τὰ ἄλλα ἀκρόδρυα· πλὴν ἄκαρπον τὴν ἐλάαν, καὶ σχεδὸν καὶ τὴν φύσιν μεταξὺ κοτίνου καὶ ἐλάας ἐστὶ καὶ τῇ ὅλῃ μορφῇ· καὶ τὸ φύλλον
12. τοῦ μὲν πλατύτερον τοῦ δὲ στενότερον. ταῦτα μὲν οὖν κατὰ τὴν ἰνδικήν. ἐν δὲ τῇ Ἀρίᾳ χώρᾳ καλουμένῃ ἄκανθά ἐστιν ἐφ' ἧς γίνεται δάκρυον ὅμοιον τῇ σμύρνῃ καὶ τῇ ὄψει καὶ τῇ ὀσμῇ· τοῦτο δὲ ὅταν ἐπιλάμψῃ ὁ ἥλιος καταρρεῖ. πολλὰ δὲ καὶ ἄλλα παρὰ τὰ ἐνταῦθα καὶ ἐν τῇ χώρᾳ καὶ ἐν τοῖς ποταμοῖς γίνεται. ἐν ἑτέροις δὲ τόποις ἐστὶν ἄκανθα λευκὴ τρίζους, ἐξ ἧς καὶ σκυτάλια καὶ βακτηρίας ποιοῦσιν· ὀπώδης δὲ καὶ μανή· ταύτην δὲ καλοῦσιν Ἡρακλέους. ἄλλο δὲ ὕλημα μέγεθος μὲν ἡλίκον ῥάφανος, τὸ δὲ φύλλον ὅμοιον δάφνῃ καὶ τῷ μεγέθει καὶ τῇ μορφῇ. τοῦτο δ' εἴ τι φάγοι ἐναποθνήσκει. διὸ καὶ ὅπου ἵπποι
13. τούτους ἐφύλαττον διὰ χειρῶν. ἐν δὲ τῇ Γεδρωσίᾳ χώρᾳ πεφυκέναι φασὶν ἓν μὲν ὅμοιον τῇ δάφνῃ φύλλον ἔχον, οὗ τὰ ὑποζύγια καὶ ὁτιοῦν εἰ φάγοι μικρὸν

ὄρυζον] Alibi *ὄρυζα* audit. Cf. Strabo 15 p. 713.

ἔψημα] *ἐψημα* U. Om. haec Gaza. — Deinde St. fecit *καὶ περιπτισθὲν ὅμοιον· καὶ χόνδρος εὔπεπτος.*

καὶ τὸν — ὕδατι] Videtur verbum excidisse, quod sationis vel culturae mentionem habuerit; *πεφυκὸς* vix huc referri potest.

φόβην] H. St. Sch.; *φόρβην* UMV Ald.; *veluti jubam* G. Cf. 8, 3, 4.

ὁ κέγχρος] Hanc vocem in suspicionem traxit Link in Act. Acad. Berol. 1817 p. 137.

ὁ ἔλυμος] Ald. Edd. o.; Schn. in Syll. et Indice correxit *ἡ μελίνη*, quod mihi justo audacius fecisse videtur. Cf. ad 8, 1, 1.

ἄλλο δέ] *τι* add. St.

τὸ βουκ.] *τῷ β.* St.

δὲ περὶ] UM G. Sch.; *δὲ καὶ περὶ* Ald. Edd.

11. *αὕτη ἡ χώρα*] corr. Sch.; *αὐτῇ τῇ χώρᾳ* U; *αὐτῇ τῇ χώρᾳ* Ald. H.; *αὐτὴ ἡ χώρα* St.

ἄκαρπον] mBas. Vo. H. St. Sch.; *ἄρπον* Ald.

καὶ σχεδὸν — μορφῇ] dedi de conj.; Ald.: *σχεδὸν δὲ καὶ τὴν φύσιν ὥσπερ μεταξὺ κοτίνου καὶ ἐλαίας. ἔστι δὲ τῇ ὅλῃ μορφῇ καὶ τ. φ.*; *καὶ* ab in. addit U; *ἐλαίαν, ἔτι δὲ τῇ ὅλῃ μορφῇ καὶ σχεδὸν τὴν φύσιν ὥσπερ μεταξὺ κοτίνου καὶ ἐλαίας· καὶ τ. φ.* Sch.

τοῦ μὲν πλατ.] *τῆς μὲν πλ.* Sch. — Post *μορφῇ* add. i. u. *διάφορος* St.

στενότερον] U Sch.syll.; *στενώτερον* Ald. Edd.

12. *Ἀρίᾳ*] *Ἀριάνῃ* St.; *ἀρείᾳ* P$_2$.

τῇ σμύρνῃ] corr. Schn. e comparatione 9, 1, 2 et Plin. 12, 8 s. 18. *τῇ ἰλλυρίᾳ* Ald. H.; *τῇ ἐν ἰλλυρίᾳ* St.

ἐν τῇ χ.] Ald. Edd.; *ἐν* om. UMV. An scribendum *κατὰ τὴν χώραν*?

λευκὴ] *ἡ λευκὴ* St.

σκυτάλια] *σκυτάλια* U.

Ἡρακλέους] U Sch.syll.; *ἡρακλέα* MV Ald. Cam.; *ἡρακλέαν* Bas.; *ηρακλείαν* St.; *Herculaceam* G.

ὕλημα] UP$_2$ H. St. Sch.; *ὕλη* MV Ald.

δ' εἴ τι φάγοι ἐναποθνήσκει] Ald.; *εἴ τις* mBas. Edd. o.; *δ' εἴ τι ἡμίγυιον ἀποθνήσκει* U; *δὴ τι ἡμίγυιον ἐναποθν.* M; *δέ τις φάγοι ἐναποθν.* V; *δ' εἴ τις φάγειεν, ἀποθνήσκει* P$_2$.

διὸ — χειρῶν] Nonnulla excidisse suspicatur Sch.

13. *Γεδρωσίᾳ*] H. St. Sch.; *κεδρωσίᾳ* U MV Ald.; *Codrosia* G.

ἓν μὲν] Ald. H. Sch.; *ὃ μὲν* UMV; *ἓν μέν τι* St.

ὁτιοῦν εἰ φάγοι] Ald. Edd.; *ὁτιοῦν τι φ.* M; *ὅτι οὖν τι φάγοι* cum pp. quadratis super *ου* et uno sub *β* U; *ὁτιοῦν τι φάγῃ* P.

ἐπισχόντα διεφθείροντο παραπλησίως διατιθέμενα καὶ σπώμενα ὁμοίως τοῖς ἐπιλήπτοις. ἕτερον δὲ ἄκανθάν τινα εἶναι· ταύτην δὲ φύλλον μὲν οὐδὲν ἔχειν πεφυκέναι δ' ἐκ μιᾶς ῥίζης· ἐφ' ἑκάστῳ δὲ τῶν ὄζων ἄκανθαν ἔχειν ὀξεῖαν σφόδρα καὶ τούτων δὲ καταγνυμένων ἢ προστριβομένων ὀπὸν ἐκρεῖν πολὺν ὃς ἀποτυφλοῖ τἆλλα ζῶα πάντα καὶ πρὸς τοὺς ἀνθρώπους εἴ τις προσραίνειεν αὐτοῖς. ἐν δὲ τόποις τισὶ πεφυκέναι τινὰ βοτάνην ὑφ' ἣ συνεσπειρωμένους ὄφεις εἶναι μικροὺς σφόδρα· τούτοις δ' εἴ τις ἐμβὰς πληγείη θνήσκειν. ἀποπνίγεσθαι δὲ καὶ ἀπὸ τῶν φοινίκων τῶν ὠμῶν εἴ τις φάγοι, καὶ τοῦτο ὕστερον κατανοηθῆναι. τοιαῦται μὲν οὖν δυνάμεις καὶ ζώων καὶ φυτῶν ἴσως καὶ παρ' ἄλλοις εἰσί. περιττότερα δὲ τῶν φυομένων καὶ πλεῖστον ἐξηλλαγμένα 14. 6 H. 6 St.
πρὸς τὰ ἄλλα τὰ εὔοσμα τὰ περὶ Ἀραβίαν καὶ Συρίαν καὶ Ἰνδούς, οἷον ὅ τε λιβανωτὸς καὶ ἡ σμύρνα καὶ ἡ κασία καὶ τὸ ὀποβάλσαμον καὶ τὸ κινάμωμον καὶ ὅσα ἄλλα τοιαῦτα· περὶ ὧν ἐν ἄλλοις εἴρηται διὰ πλειόνων. ἐν μὲν οὖν τοῖς πρὸς ἕω τε καὶ μεσημβρίαν καὶ ταῦτ' ἴδια καὶ ἕτερα δὲ τούτων πλείω ἐστίν.

Cap. V. Ἐν δὲ τοῖς πρὸς ἄρκτον οὐχ ὁμοίως· οὐθὲν γὰρ ὅτι ἄξιον λόγου λέγεται παρὰ τὰ κοινὰ τῶν δένδρων ἃ καὶ φιλόφυχρά τε τυγχάνει καὶ ἔστι καὶ παρ' ἡμῖν, οἷον πεύκη ὀρῦς ἐλάτη πύξος διοσβάλανος φίλυρα καὶ τὰ ἄλλα δὲ τὰ τοιαῦτα· σχεδὸν γὰρ οὐδὲν ἕτερον παρὰ ταῦτά ἐστιν ἀλλὰ μᾶλλον τῶν ἄλλων ὑλημάτων ἔνια ἃ τοὺς ψυχροὺς ζητεῖ τόπους καθάπερ κενταύριον ἀψίνθιον, ἔτι δὲ τὰ φαρμακώδη ταῖς ῥίζαις καὶ τοῖς ὀποῖς οἷον ἑλλέβορος ἐλατήριον σκαμμω-

διεφθείροντο] U a. m. pr., mutatum in *διεφθείρετο* quod Ald. Edd. tenent.

ἕτερον] P; *ἑτέρων* Ald. Edd. o.

ταύτην] *δὲ* UP$_2$; *δὲ* om. cett.

καταγνυμένων] P$_2$, U e correctione; Sch. de conj.; *καταμιγνυμένων* Ald. H.; *καταρρηγνυμένων* St.; *fracto* G.

ἐκρεῖν] Ald. Edd.; *ἐκρεῖν* U; *ἐκ ρεινῶν* MV; *ἐκρεῖ* P$_2$ qui etiam *ὑπὸς* et *ὃς* habet.

ἀποτυφλοῖ] U, sed in rasura *οῦν* agnoscitur.

τἆλλα] Schn.; *τᾶλλα* MP$_2$; *τὰ ἄλλα* Ald. Edd.

εἴ τις προσραίνειεν αὐτοῖς] U; *εἰ προσραίνειέ τις αὐτοῖς* Sch.syll.; in Ald. *τίς αὐτοῖς* pone lacunam; MV *ἐ τις αὐτοῖς* cum lacuna; *εἰ προσραίνοι τις αὐτό* P$_2$; *ετίς αὐτοῖς* P.

ὑφ' ἣ] corr. Schn. cum G. et e Strab. 15, 172; *ἐφ' ᾗ* Ald. Edd.; *ἐφ' ἧς* P$_2$.

συνεσπειρωμένους] corr. Schn.; *συνεσπειραμένους* UP$_2$ Ald. Edd.; *qui cum ea nascuntur* G.

ἐμβὰς] *ἀμβὰς* P$_2$.

φοινίκων τῶν] P$_2$ Ald. Edd.; *φοινίκων καὶ τῶν* U Schn.syll.

14. *ἐξηλλαγμένα*] Edd.; *ἐξηλαγ.* Ald.

τὰ ἄλλα] U; *τᾶλλα* Ald. H.; *τἆλλα* Sch.

ἡ κασία] UMV Ald. H.; *ἡ* om. H. St.

τὸ ὀποβάλσαμον] *ὁ βάλσαμος* St.

τὸ κινάμωμον] H. Sch.; *τὸ ὀποκινάμωμον* UMV Ald.; *ὁ κιν—ος* St.

ἐν ἄλλοις] *ἐν* om. H.

τούτων πλείω] UMV Sch.; *πλείω τούτων* Ald. Edd.

Cap. V.

φιλόψυχρά τε] U Schn.syll.; *φυλόψυχρα* Ald. Cam.; *φυλλόψυχρα* Bas.; *φιλόψυχρα* P H. St. Sch.

ὀρῦς] *ὀρῦς* U — *διοσβάλανος* U.

φίλυρα] Edd. post H.; *φίλλυρα* Ald.

τὰ ἄλλα] U: *τᾶλλα* Ald. Edd.; *τἆλλα* Sch. Deinceps *δὲ* omittendum esse censet Sch.

ἔνια ἃ] Schn. de suo; *ἃ* om. Ald. Edd.

ζητεῖ] sic correxi; *ἐζήτει* UMV Ald.; *ἐκζητεῖ* cum RConst. H. St. Schn.

κενταύριον] *καὶ* add. St.

ἔτι δὲ] *ἔστι δὲ* St.

τὰ φαρμ.] UM Sch.; *τὰ* om. Ald. Edd. — Deinceps *τινα* add. St.

ἑλλέβορος] Sch.; *ἐλέβορος* PM Ald.; *ἐλλέβορος* H. St. Vide ad 6, 2, 9. — Deinceps *καὶ ὁ σίκυος ὁ ἄγριος ἐξ οὗ τὸ* auct. RConst. addit St.

σκαμμωνία] *καὶ ἡ σκ.* St.; *σκαμωνία* P.

2 νία σχεδὸν πάντα τὰ ῥιζοτομούμενα. τὰ μὲν γὰρ ἐν τῷ Πόντῳ καὶ τῇ Θράκῃ γίνεται τὰ δὲ περὶ τὴν Οἴτην καὶ τὸν Παρνασσὸν καὶ τὸ Πήλιον καὶ τὴν Ὄσσαν καὶ τὸ Τελέθριον· καὶ ἐν τούτοις δέ τινές φασι πλεῖστον· πολλὰ δὲ καὶ ἐν τῇ Ἀρκαδίᾳ καὶ ἐν τῇ Λακωνικῇ· φαρμακώδεις γὰρ καὶ αὗται. τῶν δὲ εὐωδῶν οὐδὲν ἐν ταύταις πλὴν ἶρις ἐν τῇ Ἰλλυρίδι καὶ περὶ τὸν Ἀδρίαν· ταύτη γὰρ χρηστὴ καὶ πολὺ διαφέρουσα τῶν ἄλλων· ἀλλ' ἐν τοῖς ἀλεεινοῖς καὶ τοῖς πρὸς μεσημβρίαν ὥςπερ ἀντικείμενα τὰ εὐώδη. ἔχουσι δὲ καὶ κυπάριττον οἱ ἀλεεινοὶ μᾶλλον ὥςπερ Κρήτη Λυκία Ῥόδος, κέδρον δὲ καὶ τὰ Θράκια ὄρη καὶ τὰ
3 Φρύγια. τῶν δὲ ἡμερουμένων ἥκιστά φασιν ἐν τοῖς ψυχροῖς ὑπομένειν δάφνην καὶ μυρρίνην, καὶ τούτων δὲ ἧττον ἔτι τὴν μυρρίνην· σημεῖον δὲ λέγουσιν ὅτι ἐν τῷ Ὀλύμπῳ δάφνη μὲν πολλὴ μύρρινος δὲ ὅλως οὐκ ἔστιν. ἐν δὲ τῷ Πόντῳ περὶ Παντικάπαιον οὐδ' ἕτερον καίπερ σπουδαζόντων καὶ πάντα μηχανωμένων πρὸς τὰς ἱεροσύνας· συκαῖ δὲ πολλαὶ καὶ εὐμεγέθεις καὶ ῥοιαὶ δὲ περισκεπαζόμεναι· ἄπιοι δὲ καὶ μηλέαι πλεῖσται καὶ παντοδαπώταται καὶ χρησταί· αἱ δ' ἐαριναὶ πλὴν εἰ ἄρα ὄψιαι· τῆς δὲ ἀγρίας ὕλης ἐστὶ δρῦς πτελέα μελία καὶ ὅσα τοιαῦτα· πεύκη δὲ καὶ ἐλάτη καὶ πίτυς οὐκ ἔστιν οὐδὲ ὅλως οὐδὲν ἔνδαδον· ὑγρὰ δὲ αὕτη καὶ χείρων πολὺ τῆς σινωπικῆς ὥστ' οὐδὲ πολὺ χρῶνται αὐτῇ πλὴν πρὸς τὰ ὑπαίθρια. ταῦτα μὲν οὖν περὶ τὸν Πόντον ἢ ἔν
4 τισί γε τόποις αὐτοῦ. ἐν δὲ τῇ Προποντίδι γίνεται καὶ μύρρινος καὶ δάφνη πολλαχοῦ ἐν τοῖς ὄρεσιν. ἴσως δ' ἕνια καὶ τῶν τόπων ἴδια θετέον· ἕκαστοι γὰρ

σχεδὸν] *καὶ σχεδὸν* Sch.; *ὡς καὶ σχ.* St.

2 *ἐν τῷ π.*] Edd. post H.: *ἐν* om. U Ald.

Θράκῃ] *Θραίκῃ* U.

Τελέθριον] corr. Schn.; *Πελέθριον* UM VP; *Παρθένιον* Ald. Edd. Gaza. — *ὅσσαν* P Ald., *οσσαν* M; *ὅσαν* V; *ὅσσην* H. St. — Margo Bas. adscriptum habet in sequentibus ö quod quo pertineat incertum.

καὶ — πλεῖστον] *δι* sed mutatum in *δὲ* habet U, Gaza haec omisit. Non sunt vitiosa, ut Schn. putat.

καὶ αὗται] U Sch.syll.; *καὶ* om. Ald. Edd.

ταύτῃ] Sch.syll.; *αὕτη* sed in rasura ab initio agnosci potest *ταυ* U; *αὕτη* Ald. Edd.

γὰρ χρ.] U; *δὲ χρ.* Ald. Edd.

ἀλεεινοῖς] *ἐλεεινοῖς* P.

καὶ τοῖς πρὸς] *καὶ ἐν τοῖς π.* M1; *καὶ ἐν τοῖς π.* M2.

ἀντικείμενα] scil. *τοῖς φαρμακώδεσιν.* — *ἀντικειμένοις* [*τοῖς φαρμακώδεσι*] St. partim e conj. RConst.

κυπάριττον] U; *τὴν κυπ.* Ald. Edd.

κέδρον δὲ καὶ] Ald. Edd.; *κέδρον δὲ γὰρ καὶ* U; *κέδρον καὶ γὰρ* MV.; *κέδρον — Φρύγια* om. Gaza.

3 *δὲ ἧττον ἔτι τὴν μυρρίνην*] mBas. Schn. et St., qui *καὶ* pro *δὲ* posuit; *δὲ ἧττον ἐπὶ τῶν μυρρινῶν* U et Ald., qui *μυρρίνων* habet.

μύρρινος] *μυρρίνη* St.; *μήρρινος* Cam.

Παντικάπαιον] e corr. RConst. St. Schn.; *παντικαπαιον* U; *παντὶ, καὶ ποῖον* Ald. H.; *in Ponto autem toto neutrum est.* G.

συκαῖ εὐμεγέθεις] UMV Vo. cod. Cas. Sch.; et St. qui post *πολλὰς* inseruit *ἐκεῖ*.; *συκαὶς δὲ πολλὰς καὶ εὐμεγέθεις* Ald.; *συκᾶς δὲ πολλὰς ἔχει κ. ἑ.* H.

ῥοιαὶ] U Ald.; *ῥόαι* Sch.

ἄπιοι δὲ] Ald. Edd.; *ἄπιοι δὴ* U; *ἄπ. δὲ δὴ* V.

μηλέαι] Ald. Edd.; *μηλίαι* U, qui solus additum *πλεῖσται* dat.

αἱ δ' ἐαριναὶ] UMV Ald., quae *αἳ* habet; *αἱ ἐαρ.* St.; *καὶ ἐαρ.* H.; *καὶ αἱ ἐαρ. δὲ* Schn.; *μὴ ἐαρ.* conj. Spr. — Dein *αἱ ὄψιαι* St. Fortasse *εἰσὶ δ' ἐαριναὶ* scribendum.

δρῦς] *δρὺς* U.

μελία] Ald. Edd.; *μηλία* U; *μηλέα* V; *μελέα* M.

ὁ. πολὺ] correctum videtur in *πολοι* U, unde *πολλοὶ* Schn. in Syll., minus bene. — *πλὼν* pro *πλὴν* U.

4 *μύρρινος*] *μυρρίνη* St

ἔχουσι τὰ διαφέροντα ὥσπερ εἴρηται κατὰ τὰς ὕλας οὐ μόνον τῷ βελτίω καὶ χείρω τὴν αὐτὴν ἔχειν ἀλλὰ καὶ τῷ φέρειν ἢ μὴ φέρειν· οἷον ὁ μὲν Τμῶλος ἔχει καὶ ὁ μύσιος Ὄλυμπος πολὺ τὸ κάρυον καὶ τὴν διοσβάλανον ἔτι δὲ ἄμπελον καὶ μηλέαν καὶ ῥόαν· ἡ δὲ Ἴδη τὰ μὲν οὐκ ἔχει τούτων τὰ δὲ σπάνια· περὶ δὲ Μακεδονίαν καὶ τὸν πιερικὸν Ὄλυμπον τὰ μὲν ἔστι τὰ δ' οὐκ ἔστι τούτων· ἐν δὲ τῇ Εὐβοίᾳ καὶ περὶ τὴν Μαγνησίαν τὰ μὲν εὐβοϊκὰ πολλὰ τῶν δὲ ἄλλων οὐθέν· οὐδὲ δὴ περὶ τὸ Πήλιον οὐδὲ τὰ ἄλλα τὰ ἐνταῦθα ὄρη. βραχὺς 5.
δ' ἐστὶ τόπος ὃς ἔχει καὶ ὅλως τὴν ναυπηγήσιμον ὕλην· τῆς μὲν γὰρ Εὐρώπης δοκεῖ τὰ περὶ τὴν Μακεδονίαν καὶ ὅσα τῆς Θρᾴκης καὶ περὶ Ἰταλίαν· τῆς δὲ Ἀσίας τά τε ἐν Κιλικίᾳ καὶ τὰ ἐν Σινώπῃ καὶ Ἀμίσῳ ἔτι δὲ ὁ μύσιος Ὄλυμπος καὶ ἡ Ἴδη πλὴν οὐ πολλήν· ἡ γὰρ Συρία κέδρον ἔχει καὶ ταύτῃ χρῶνται πρὸς τὰς τριήρεις. ἀλλὰ καὶ τὰ φίλυδρα καὶ τὰ παραποτάμια ταῦθ' ὁμοίως· 6. 7H
ἐν μὲν γὰρ τῷ Ἀδρίᾳ πλάτανον οὔ φασιν εἶναι πλὴν περὶ τὸ Διομήδους ἱερόν· σπανίαν δὲ καὶ ἐν Ἰταλίᾳ πάσῃ· καίτοι πολλοὶ καὶ μεγάλοι ποταμοὶ παρ' ἀμφοῖν· ἀλλ' οὐκ ἔοικε φέρειν ὁ τόπος· ἐν Ῥηγίῳ γοῦν ἃς Διονύσιος πρεσβύτερος ὁ τύραννος ἐφύτευσεν ἐν τῷ παραδείσῳ αἳ εἰσι νῦν ἐν τῷ γυμνασίῳ φιλοτιμηθεὶς οὐ δεδύνηνται λαβεῖν μέγεθος. ἔνιοι δὲ πλείστην ἔχουσι πλάτανον, οἱ δὲ 7.
πτελέαν καὶ ἰτέαν, οἱ δὲ μυρίκην ὥσπερ ὁ Αἶμος. ὥστε τὰ μὲν τοιαῦτα καθάπερ ἐλέχθη τῶν τόπων ἴδια θετέον ὁμοίως ἔν τε τοῖς ἀγρίοις καὶ τοῖς ἡμέροις. οὐ μὴν ἀλλὰ τάχ' ἂν εἴη καὶ τούτων ἐπί τινων ὥστε διακοσμηθέντων δύνασθαι τὴν χώραν φέρειν, ὃ καὶ νῦν ξυμβαῖνον ὁρῶμεν καὶ ἐπὶ ζώων ἐνίων καὶ φυτῶν.

τὰς ὕλας] Ald. H. St.; *τὴν ὕλην* Sch. Pluralis indicat diversa materiae genera.— *βελτίῳ* Ald.

ἢ μὴ φέρειν] St. et Sch. i. u.; om. Ald. H.

μύσιος] Edd. post H.; *μύρσινος* UMV; *μυσινὸς* Ald.

διοσβάλανον] U; *λιος βάλανον* Ald. Edd.

ἔτι δὲ ἄμπ.] UMV Schn. syll.; *ἔτι δὲ καὶ ἄ.* Ald. Edd. o.

ῥόαν] Ald. H. Sch.; *ῥοιὰν* St.

εὐβοϊκὰ] *κάρυα* i. u. anteposuit St.

5. *βραχὺς — ὅλως*] corr. Sch. Idem cum G. sic scribi posse conj.: *καὶ ὅλως δὲ βραχύς ἐστι τόπος ὃς ἔχει τὴν ναυπ. ὕ.*; *βραχὺς δ' ἐστὶ τόπος ἐκεῖ καὶ ὅλως τὴν ναυπ. ὕ.* UMV Ald.; post *ὅλως* inserunt *πρὸς* mBas. H. St.

Ἰταλίαν] *μόνον ἔχειν* i. u. add. Sch. St. omisso *δοκεῖ* scripsit *Θρᾴκης ὄρη καὶ περὶ Ἰταλίαν ἔχει.*

Ἀμίσῳ] corr. Sch.; *Ἀμισῷ* Ald. Edd.; *Ἄμυσον* U; *Ἄμισον* M.

πολλὴν] Schn. e conj.; *πολ.*, dein rasura in qua *λ* agnoscas, *υ* sequente rasura U; *πολὺ* Ald. Edd.

6. *φίλυδρα*] *δένδρα* i. u. add. St.

ὁμοίως] *ἔχει* i. u. add. St. Sch.

τῷ Ἀδρίᾳ] *τῇ Ἀ.* St.

σπανίαν] Cf. Plinium 12, 1.

π. καὶ μεγ.] *καὶ* om. H.

Ῥηγίῳ] mBas. cod. Cas. H. St. Sch.; *ῥητῶι* U; *ῥητῷ* Ald.

ἃς] seclusit Schn. Structura sane laborat atque vox *φιλοτιμηθεὶς* loco haud commodo posita est.

πρεσβύτερος] *ὁ* anteposuit cum Stackh. Sch.

αἳ εἰσι] *αὗται μέν εἰσι* St.

φιλοτιμηθεὶς] *φιλοτιμηθεῖσαι* St.

οὐ δεδύνηνται] U Sch. syll.; *οὐδὲ δύνανται* Ald. Edd.

7. *ἔνιοι δὲ*] scil. *τόποι*, quod i. u. add. St.

Αἶμος] Ald. Edd.; *εἶμος* U.

ἴδια] Bas. Sch.; *ἰδία* Ald. Cam.; *ἰδίᾳ* H. St.; *locorum propria* G.

οὐ μὴν ἀ.] *οὐ μὴ ἀ* Sch.

διακοσμηθέντων] Recte habet; significat *θεραπείας ἱκανῆς τυχόντων*, genitivo ad *τινων* relato. Sch. mavult *διακοσμηθεῖσαν*; *καὶ τούτων τινὰ οὕτως διακοσμηθέντα* St.

ξυμβαῖνον] Ald. Edd.; *ξυμβαίνειν* U. — *ζώιων* U.

Cap. VI. Μεγίστην δὲ διαφορὰν αὐτῆς τῆς φύσεως τῶν δένδρων καὶ ἁπλῶς τῶν ὑλημάτων ὑποληπτέον ἣν καὶ πρότερον εἴπομεν ὅτι τὰ μὲν ἔγγαια τὰ δ' ἔνυδρα τυγχάνει καθάπερ τῶν ζώων καὶ τῶν φυτῶν· οὐ μόνον ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις καὶ τοῖς ποταμοῖς γὰρ ἀλλὰ καὶ ἐν τῇ θαλάττῃ φύεται καὶ ὑλήματα ἔνια ἔν τε τῇ ἔξω καὶ δένδρα· ἐν μὲν γὰρ τῇ περὶ ἡμᾶς μικρὰ πάντα τὰ φυόμενα καὶ οὐδὲν ὑπερέχον ὡς εἰπεῖν τῆς θαλάττης· ἐν ἐκείνῃ δὲ καὶ
2. τὰ τοιαῦτα καὶ ὑπερέχοντα, καὶ ἕτερα δὲ μείζω δένδρα. τὰ μὲν οὖν περὶ ἡμᾶς ἐστι τάδε· φανερώτατα μὲν καὶ κοινότατα πᾶσιν τό τε φῦκος καὶ τὸ βρύον καὶ ὅσα ἄλλα τοιαῦτα· φανερώτατα δὲ καὶ ἰδιώτατα κατὰ τοὺς τόπους ἐλάτη συκῆ ὀρῦς ἄμπελος φοῖνιξ. τούτων δὲ τὰ μὲν πρόσγεια τὰ δὲ πόντια τὰ δ' ἀμφοτέρων τῶν τόπων κοινά. καὶ τὰ μὲν πολυειδῆ καθάπερ τὸ φῦκος, τὰ δὲ μίαν ἰδέαν ἔχοντα. τοῦ γὰρ φύκους τὸ μέν ἐστι πλατύφυλλον ταινιοειδὲς χρῶμα ποῶδες ἔχον, ὃ δὴ καὶ πράσον καλοῦσί τινες, οἱ δὲ ζωστῆρα· ῥίζαν δὲ ἔχει δασεῖαν ἔξωθεν ἔνδοθεν δὲ λεπυριώδη μακρὰν δὲ ἐπιεικῶς καὶ εὐπαχῆ παρομοίαν τοῖς
3. χρομυογητείοις. τὸ δὲ τριχόφυλλον ὥσπερ τὸ μάραθον, οὐ ποῶδες ἀλλ' ἔξωχρον οὐδὲ ἔχον καυλὸν ἀλλ' ὀρθόν πως ἐν αὑτῷ· φύεται δὲ τοῦτο ἐπὶ τῶν ὀστράκων καὶ τῶν λίθων, οὐχ ὥσπερ θάτερον πρὸς τῇ γῇ· πρόσγεια δ' ἄμφω,

Cap. IV.

τῶν ὑλημάτων] „An fuit olim additum *καὶ τῶν ποωδῶν?*" Sch.

ἣν καὶ] corr. Sch.; *ἧ καὶ* UM VAld. Cam.; *ᾗ καὶ* Bas. H. St.

πρότερον] UMV Sch.; *πρότερόν γε* Ald. Edd. — *εἴπωμεν* Bas. sola.

ἔγγαια] U Sch.syll.; *ἄγγαια* MV; *ἔγγεια* Ald. Edd. — *ζώιων* U.

οὐ μόνον] UMV Ald.; *οὐ γὰρ μόνον* H. St. Sch.

ἕλεσι] *ἕλεσι* U.

ποταμοῖς γὰρ] UMV Ald.; *γὰρ* omitt. H. St. Sch.

ἀλλὰ καὶ — καὶ δένδρα] UMV. Verte: *sed in mari etiam nascuntur et fruticuli et in extero etiam arbores*, ut fere G. *ἀλλὰ καὶ ἐν τῇ θαλ. φύεται ὑλήματα ἔνια ἔν τε τῇ ἔξω καὶ τῇ περὶ ἡμᾶς καὶ δ.* Ald. H.; — *ἔνια καὶ δένδρα ἐν τῇ ἔξω καὶ ἐν τῇ περὶ ἡμᾶς* St. — *θαλ. τῇ περὶ ἡμᾶς φύεται ὑλήματα ἔνια· ἐν δὲ τῇ ἔξω καὶ δ.* Sch.

τὰ φυόμενα] U, Sch. e conj.; *τὰ* om Ald. Edd.

ὑπερέχον] *ὑπερέχοντα* St.

τῆς θαλάττης] corr. Scalig. et Palm. Ex. p. 595 St. Sch.; *τῆς ἐλάτης* Ald. H.; *super mare emicat* G.

δὲ καὶ τὰ τοιαῦτα] U Ald. Edd.; *καὶ* om. MV Sch.

2. *φανερώτατα μὲν*] sic Ald.; *φανερώτα τὰ μὲν* Bas.; *τὰ μὲν φανερώτατα* Schn. Ald. sic exhibet: *φανερώτατα μὲν καὶ κοινότατα καὶ ἰδιώτατα*, quae mutila esse cum Dalec. vidit Schn. Lacunam explevit U, qui verba *πᾶσιν — φανερώτατα δὲ*, in Ald. Edd. omissa, praebuit, pro *φῦκος* vero dat *φοῖνιξ*.

κατὰ τοὺς τ.] U St. Sch. e conj.; *κατὰ* om. Ald. H.

φοῖνιξ] *φοίνιξ* Ald.

τὸ φῦκος] U Sch.; *ὁ φύκος* Ald.

ταινιοειδὲς] e conj. Dalecamp. et Palmer. Exerc. p. 595. Sch. quae verisimillima est; *τετανοειδὲς* UP$_2$ Ald. H. St.; *τα τενοειδὲς* MV; *πλατύφυλλόν τε καὶ τανοειδὲς* vel *τανυειδὲς* scribi vult Salm. Ex. p. 805; om G.

πράσον] *πράσσον* P$_2$.

ἔνδοθεν δὲ λεπυριώδη] UP$_2$ Sch. de conj.; *ἔνδοθεν δὲ λεπυρίῳ* MV; *ἔνδοθεν δὲ λεπύρια* P; *ἄνωθεν δὲ λεπύρια* Ald. H.; *ἄνωθεν δὲ καὶ λεπυρώδη* St.; *ἔξωθεν δὲ πυρρὰν* conj. Salm. Ex. l. l., *ἄνωθεν δὲ καυλὸν λεπτόν* conj. Sch. in Comm.

χρομμυογητείοις] corr. Sch.; *χρομμυγητείοις* UVP$_2$ Ald.; *χρομμυγηθείοις* M; *χρομμυογηθείοις* H.

3. *μάραθον*] corr. Sch.syll.; *μάραθρον* P$_2$ Ald. Edd.

ἀλλ' ἔξωχρον] corr. St. Sch.; *οὐ δὲ ἐξ.* P$_2$ Ald. H. — Dein *ἔχων αὐτῷ* P$_2$.

καὶ τῶν λίθ.] U Sch.syll.; *καὶ ἐπὶ τῶν λ.* Ald. Edd. o.

καὶ τὸ μὲν τριχόφυλλον πρὸς αὐτῇ τῇ γῇ πολλάκις δὲ ὥσπερ ἐπικλύζεται μόνον ὑπὸ τῆς θαλάττης, θάτερον δὲ ἀνωτέρω. γίνεται δὲ ἐν μὲν τῇ ἔξω τῇ περὶ 4.
Ἡρακλέους στήλας θαυμαστόν τι τὸ μέγεθος ὥς φασι καὶ τὸ πλάτος μεῖζον ἢ παλαιστιαῖον. φέρεται δὲ τοῦτο εἰς τὴν ἔσω θάλατταν ἅμα τῷ ῥῷ τῷ ἔξωθεν καὶ καλοῦσιν αὐτὸ πράσον· ἐν ταύτῃ δ' ἔν τισι τόποις ὥστ' ἐπάνω τοῦ ὀμφαλοῦ. λέγεται δὲ ἐπέτειον εἶναι καὶ φύεσθαι μὲν τοῦ ἦρος λήγοντος ἀκμάζειν δὲ τοῦ θέρους τοῦ μετοπώρου δὲ φθίνειν κατὰ δὲ τὸν χειμῶνα ἀπόλλυσθαι καὶ ἐκπίπτειν. ἅπαντα δὲ καὶ τἆλλα τὰ φυόμενα χείρω καὶ ἀμαυρότερα γίνεσθαι τοῦ χειμῶνος. ταῦτα μὲν οὖν οἷον πρόσγεια περί γε τὴν θάλατταν. τὸ δὲ πόντιον φῦκος ὃ οἱ σπογγιεῖς ἀνακολυμβῶσι πελάγιον· καὶ ἐν Κρήτῃ δὲ φύεται πρὸς 5.
τῇ γῇ ἐπὶ τῶν πετρῶν πλεῖστον καὶ κάλλιστον ᾧ βάπτουσιν οὐ μόνον τὰς ταινίας ἀλλὰ καὶ ἔρια καὶ ἱμάτια· καὶ ἕως ἂν ᾖ πρόσφατος ἡ βαφὴ πολὺ καλλίων ἡ χρόα τῆς πορφύρας· γίνεται δ' ἐν τῇ προσβόρρῳ καὶ πλεῖον καὶ κάλλιον ὥσπερ αἱ σπογγιαὶ καὶ ἄλλα τοιαῦτα. ἄλλο δ' ἐστὶν ὅμοιον τῇ ἀγρώστει· καὶ γὰρ 6.
τὸ φύλλον παραπλήσιον ἔχει καὶ τὴν ῥίζαν γονατώδη καὶ μακρὰν καὶ πεφυκυῖαν πλαγίαν ὥσπερ ἡ τῆς ἀγρώστιδος· ἔχει δὲ καὶ καυλὸν καλαμώδη καθάπερ ἡ ἄγρωστις· μεγέθει δὲ ἔλαττον πολὺ τοῦ φύκους. ἄλλο δὲ τὸ βρύον ὃ φύλλον μὲν ἔχει ποῶδες τῇ χρόᾳ, πλατὺ δὲ καὶ οὐκ ἀνόμοιον ταῖς θριδακίναις, πλὴν ῥυτιδωδέστερον καὶ ὥσπερ συνεσπασμένον. καυλὸν δὲ οὐκ ἔχει ἀλλ' ἀπὸ μιᾶς ἀρχῆς πλείω τὰ τοιαῦτα καὶ πάλιν ἀπ' ἄλλης· φύεται δὲ ἐπὶ τῶν λίθων τὰ τοιαῦτα

καὶ τὸ μὲν τρ.] *ἄλλα* St.

αὐτῇ τῇ γῇ] UMVP Sch.; *τῇ* om. Ald. H. St.; *τῇ ἀκτῇ* P$_2$; *Aliud folio crinito, terrae ipsae adhaerens* Guza, qui proxima *τὸ δὲ τριχ. ἅμφω* omittit.

ὥσπερ ἐπικλύζεται] UMV Ald.; *ὥσπερ ἐπικλύζεσθαι* H. St.; *ὥστε ἐπικλύζεσθαι* Schn. G. *saepeque a mari tantum alluitur.*

4. *Ἡρακλέους* UP$_2$ Sch.syll.; *ἡρακλείας* Ald. Edd.

ἢ παλ.] corr. Sch.; *ὡς παλ.* UMV Ald.

φέρεται] U Cam. H. St. Schn.; *φαίνεται* MVP; *φαίρεται* Ald.

ἅμα τῷ ῥῷ] U Sch.syll.; *ἅμα* om. cett. — *θάλασσαν* M.

καὶ καλοῦσιν αὐτὸ] U Sch.syll.; *καλοῦσιν αὐτὸ* MV; *καλοῦσι δὲ αὐτὸ* Ald. Edd.

ἐν ταύτῃ — ὀμφαλοῦ] om. G. Post *τόποις* addunt *τοσοῦτον αὐξάνεται* (*-ετον* H.) St. H.; ab initio *ταύτης δ' ἔν τισι* scripsit St. Dalecamp. vertit: *Ibidem et in aliis quibusdam locis tam alte surgit ut hominum umbilicum altitudine superet* subridiculc. Medela vitii adhuc exspectatur.

καὶ τἆλλα] corr. Sch.; *καὶ ἄλλα* Ald. H.; *ὡς καὶ ἄλλα* St.

πρόσγεια] *ἐστι* add. St.

ἀνακολυμβῶσι πελάγιον] *ἀνάγουσι κολυμβῶντες* P$_2$, mira discrepantia.

5. *ἕως ἂν ᾖ*] UP$_2$ St. Sch.; *ἕως ᾖ* MVP; *ἕως ἢ ἄν* Ald. St.

δ' ἐν τῇ] UMV Sch.; *δὲ καὶ ἐν τῇ* Ald. Edd. — *προσβόρῳ* P.

χρόα τῆς] *χρόα ἡ τῆς* St.

πλεῖον καὶ κάλλιον] corr. Sch.; *πλεῖον καὶ καλλον* U; *πλ. κ. καλὸν* Ald.; *πλειόνα καὶ καλλίω* St.

σπογγιαὶ] P Edd. post H.; *σπογγειαὶ* V Ald.

6. *ἄλλο δ' ἐστὶν ὅμοιον*] corr. Daleo. St. Sch.; *ἄλλα γάρ ἐστιν ὅμοια* Ald. H.

καὶ μακρὰν] PMV Sch.cont.; *radice geniculata, longa, oblique adherente* G.; *καρτερὰν* U Sch.syll.; om. Ald. Edd.

ἡ τῆς] corr. St. Sch.; *τῇ τῆς* Ald.

ἔλαττον] *ἐλάττω* H. St. — Post *φύκους* addit *πρωτέρου* i. u. St.

ἄλλο δὲ τὸ βρύον] corr. Sch.syll.; *ἄλλο δὲ τὸ βότρυον* U; *ἄλλο δὲ βότρυον* Ald. H.; *ἄ. δὲ ὡς βότρυον* St. Correctio *βρύον* debetur Scaligero, ducta e vers. Gazae et Plinio; *ἄλλο δὲ βρύον* vult Salm. Ex. p. 805. — Dein *μὲν* solus dat U.

ῥυτιδωδέστερον] corr. Scal. St. Sch.; *rugosiori* G., *rugosa* Plin.; *χρυσιωδέστερον* Ald.; *ῥυσιωδέστερον* mBas. — *πλὴν* om. M.

7. πρὸς τῇ γῇ καὶ τῶν ὀστράκων. καὶ τὰ μὲν ἐλάττω σχεδὸν ταῦτ' ἐστίν. ἡ δὲ δρῦς καὶ ἡ ἐλάτη παράγειοι μὲν ἄμφω· φύονται δ' ἐπὶ λίθοις καὶ ὀστράκοις ῥίζας μὲν οὐκ ἔχουσαι προσπεφυκυῖαι δὲ ὥςπερ αἱ λοπάδες. ἀμφότεραι μὲν οἷον σαρκόφυλλα· προμηκέστερον δὲ τὸ φύλλον πολὺ καὶ παχύτερον τῆς ἐλάτης πέφυκε καὶ οὐκ ἀνόμοιον τοῖς τῶν ὀσπρίων λοβοῖς κοῖλον δ' ἔνδοθεν καὶ οὐδὲν ἔχον ἐν αὑτῷ· τὸ δὲ τῆς δρυὸς λεπτὸν καὶ μυρικωδέστερον· χρῶμα δ' ἐπιπόρφυρον ἀμφοῖν. ἡ δὲ ὅλη μορφὴ τῆς μὲν ἐλάτης ὀρθὴ καὶ αὐτῆς καὶ τῶν
8. ἀκρεμόνων, τῆς δὲ δρυὸς σκολιωτέρα καὶ μᾶλλον ἔχουσα πλάτος· γίνεται δὲ ἄμφω καὶ πολύκαυλα καὶ μονοκαυλότερον δὲ ἡ ἐλάτη· τὰς δὲ ἀκρεμονικὰς ἀποφύσεις ἡ μὲν ἐλάτη μακρὰς ἔχει καὶ εὐθείας καὶ μανὰς ἡ δὲ δρῦς βραχυτέρας καὶ σκολιωτέρας καὶ πυκνοτέρας. τὸ δ' ὅλον μέγεθος ἀμφοτέρων ὡς πυγωνιαῖον ἢ μικρὸν ὑπεραῖρον, μεῖζον δὲ ὡς ἁπλῶς εἰπεῖν τὸ τῆς ἐλάτης. χρήσιμον δὲ ἡ δρῦς εἰς βαφὴν ἐρίων ταῖς γυναιξίν. ἐπὶ μὲν τῶν ἀκρεμόνων προσηρτημένα τῶν ὀστρακοδέρμων ζώων ἔνια· καὶ κάτω δὲ πρὸς αὐτῷ τῷ καυλῷ περιπεφυκότων τινῶν γ' ὅλῳ, ἐν τούτοις δεδυκότες ὀνίννοι τε καὶ ἄλλ' ἄττα καὶ τὸ ὅμοιον πολύποδι. ταῦτα μὲν οὖν πρόσγεια καὶ ῥᾴδια θεωρηθῆναι·
9. φασὶ δέ τινες καὶ ἄλλην δρῦν εἶναι ποντίαν ἣ καὶ καρπὸν φέρει, καὶ ἡ βάλανος

καὶ τῶν ὀ.] καὶ ἐπὶ τ. ὀ St.

7. παράγειοι] UM Sch.syll.; πρόσγειοι Ald. Edd.

φύονται] Ald. Edd.; φύεται UMV.

ἔχουσαι] ἔχουσαις U.

λοπάδες] UMV Sch.syll.; λεπάδες Ald. Edd.; λοπάδους P$_2$.

σαρκόφυλλα] Ald. H.; -λαι St.; -λοι Sch. P$_2$.

προμηκέστερον — πέφυκε] dedi de conj.; προμηκέστερον δὲ τὸ φύλλον παχὺ, καὶ παχύτερον τῆς ἐλάτης. πολὺ δὲ καὶ οὐκ ἄν. Ald. et Schn. sed παχὺ et δὲ seclusis, atque πολὺ retracto ad superiora. *Oblongius crassumque et abieti crassius frequens* G. Bodaeus dicit verisimile esse, quoniam plantae marinae a similitudine plantarum terrestrium nominatae sunt, similitudinem a foliorum figura potissimum petitam esse, collegit itaque verba ἐλάτης ac δρυός hic sedem suam permutasse, superiore igitur δρυὸς inferiore ἐλάτης scribendum esse. Inde St.: προμηκέστερον δὲ τὸ φύλλον τῆς δρυὸς καὶ παχύτερον τῆς ἐλάτης, καὶ οὐκ ἀν., tamen vero dein pergit: τὸ δὲ τῆς δρυὸς λεπτόν etc. At Bod. perperam ratiocinatus est: similitudo enim non a foliorum figura sed ab universa plantarum figura, inprimis dispositione ramorum, petita fuit, ut proxima ostendunt.

τοῖς τῶν ὀ.] τῶν om. Sch.cont.

κοῖλον δ' ἐνδόθεν] δὲ κοῖλον. ἐνδόθεν H.

αὐτῷ] dedi de corr., vult enim ad φύλλον referri; αὐτοῖς Ald. H. St.; αὐτοῖς Sch.

8. πολύκαυλα καὶ μ.] καὶ om. St.

ἀκρεμονικὰς ἀποφύσεις] H. St. Sch.; καὶ interserit Ald.

ἡ μὲν ἐλάτη] U Sch. e conj.; μὲν ἐλάτη MV; ἐλάτη μὲν Ald. H.; ἡ ἐλ. μὲν St.

μακρὰς] H. St. Sch.; *longi* G.; μικρὰς UMV Ald.

πυγωνιαῖον ἢ μικρὸν] Ald. Edd.; πυγων. καὶ μ. M; πυγονιαῖον καὶ μ. V; πηγωνιαῖον ἢ μικρὸν P$_2$; πηχυαῖον Vo. — ὑπεραῖρον H. St.

χρήσιμον] UMV Sch.; χρήσιμος Ald. Edd.

προσηρτημένα] εὑρίσκεται i. u. add. Sch.; εἶσι St.

τινῶν γ' ὅλῳ] dedi de conj.; τινῶν ὅλων Ald. Sch.cont.; τινῶν γε ὅλων U Sch.syll.; τινῶν λοίλων e conj. RConst. H. St.; τινῶν ἄλλιων conj. Scal. Schn. conj. προσπέφυκέ τινα τῶν ὀστρίκων, καὶ ἐν τούτοις ἐνδεδυκότες ὀνίσκοι. Gaza: *ad quaedam tota obesae ingrediuntur millepedae*, qui pro ἐν τούτοις videtur εὔτροφοι legisse. Nisi haererem adhuc in τινῶν et γε, quae non satis apta esse videntur, scripturam supra positam pro certa venderem. Notissimum est stipitem fucorum saepe totum phytozois et ostracodermis obtectum esse. Hiat structura in verbis ἐν τούτοις.

ὀνίννοι τε] USch.syll.; οἱ ὀνίννοι PAld.; οἱ ὀνίσκοι e conj. RConst. H. St.

πολύποδι] πολυποδη U; πουλύποδι M.

9. καρπὸν φέρει] καρποφόρον φέρει U; ποντιὰν καρποφόρον omisso φέρει P$_2$.

αὐτῆς χρησίμη· τοὺς δὲ σκινθοὺς καὶ κολυμβητὰς λέγειν ὅτι καὶ ἕτεραι μεγάλαι τινὲς τοῖς μεγέθεσιν εἴησαν. ἡ δὲ ἄμπελος ἀμφοτέρωσε γίνεται· καὶ γὰρ πρὸς τῇ γῇ καὶ ποντία· μείζω δ' ἔχει καὶ τὰ φύλλα καὶ τὰ κλήματα καὶ τὸν καρπὸν ἡ ποντία. ἡ δὲ συκῆ ἄφυλλος μὲν τῷ δὲ μεγέθει οὐ μεγάλη, χρῶμα δὲ τοῦ φλοιοῦ φοινικοῦν. ὁ δὲ φοῖνίξ ἐστι μὲν πόντιον βραχυστέλεχες δὲ 10.
σφόδρα καὶ σχεδὸν εὐθεῖαι αἱ ἐκφύσεις τῶν ῥάβδων κάτωθεν οὐ κύκλωθεν αὗται καθάπερ τῶν ῥάβδων αἱ ἀκρεμόνες, ἀλλ' ὡσὰν ἐν πλάτει κατὰ μίαν συνεχεῖς, ὀλιγαχοῦ δὲ καὶ ἐπαλλάττουσαι. τῶν δὲ ῥάβδων ἢ τῶν ἀποφύσεων τούτων ὁμοία τρόπον τινὰ ἡ φύσις τοῖς τῶν ἀκανθῶν φύλλοις τῶν ἀκανικῶν οἷον σόγκοις καὶ τοῖς τοιούτοις, πλὴν ὀρθαὶ καὶ οὐχ ὥσπερ ἐκεῖνα περικεκλασμέναι καὶ τὸ φύλλον ἔχουσαι διαβεβρωμένον ὑπὸ τῆς ἅλμης· ἐπεὶ τό γε ὅλου ἧκειν τὸν μέσον γε καυλὸν καὶ ἡ ἄλλη ὄψις παραπλησία. τὸ δὲ χρῶμα καὶ τούτων καὶ τῶν καυλῶν καὶ ὅλου τοῦ φυτοῦ ἐξέρυθρόν τε σφόδρα καὶ φοινικοῦν. καὶ τὰ μὲν ἐν τῇδε τῇ θαλάττῃ τοσαῦτά ἐστιν. ἡ γὰρ σπογγιὰ καὶ αἱ ἀπλυσίαι καλούμεναι καὶ εἴ τι τοιοῦτον ἑτέραν ἔχει φύσιν.

Cap. VII. Ἐν δὲ τῇ ἔξω τῇ περὶ Ἡρακλέους στήλας τό τε πράσον ὥσπερ εἴρηται φύεται καὶ τὰ ἀπολιθούμενα ταῦτα οἷον θῦμα καὶ τὰ δαφνοειδῆ καὶ τὰ ἄλλα. τῆς δὲ ἐρυθρᾶς καλουμένης ἐν τῇ Ἀραβίᾳ μικρὸν ἐπάνω Κόπτου ἐν μὲν 8 H. St.
τῇ γῇ δένδρον οὐδὲν φύεται πλὴν τῆς ἀκάνθης τῆς διψάδος καλουμένης· σπανία δὲ καὶ αὕτη διὰ τὰ καύματα καὶ τὴν ἀνυδρίαν· οὐχ ὗει γὰρ ἀλλ' ἢ δι' ἐτῶν

σκινθοὺς] „Vox vitiosa" Sch.; *σπογγεῖς* St.; *σκινθοὺς* etiam P$_2$.

ποντία] P St. Sch.; *pelagica* G.; *πόντια* Ald. H.

τῷ δὲ μεγέθει οὐ] U Sch.syll.; *τῷ μεγέθει δ' οὐ* Ald. H. St.; *τῷ μεγέθει οὐ* MV Sch.cont.

10. *φοῖνιξ*] *φοῖνιξ πόντιος ἐστι μὲν βραχυστελέχης σφ.* St.

πόντιον] Ald. Edd. o.; *πόντιος* P.

βραχυστέλεχες δὲ] U, Sch. e conj.; *δὲ* om. Ald. H.

καὶ σχεδὸν—ἐπαλλάττουσαι] Locus adeo depravatus ut nulla emendationis via pateat. Schn. conj.: *τῶν ῥάβδιον τῶν κάτωθεν, οὐ κύκλῳ τεθεῖσαι καθάπερ τῶν δένδρων οἱ ἀκρέμονες.* — *ὀλιγαχοῦ* dant UMV et mP; *ἐνιαχοῦ* P Ald. Edd. Dein *ἐπαλλάττουσαι* St. Schn. e conj.; *ἀπαλλάττ.* Ald. H.

φύλλοις] *φύλοις* Ald. Cam.

τῶν ἀκανικῶν] *ἢ τοῖς τῶν ἀκανωδῶν* St.

σόγκοις—τοιούτοις] *σόγκων καὶ τῶν τοιούτων* St.

ὀρθαὶ] Ald. Bas. St. Sch.; *ὀρθὰς* Cam.; *ὀρθὰ* H.—Deinceps *καὶ* accessit ex UMVP, omissum in Ald. Edd. — *οὐκ* H. St.

περικεκλασμέναι] cum Scal. St. Sch.; *καὶ περ.* Ald. H.; *περικεκλασμένα* MV.

ἐ. τό γε] U; *ἐπεὶ τῷ γε* Ald. H. Sch.; *ἔτι τῷ γε δι' ὅλου φύλλου* St. Verba vitiosa esse videntur; Sch. conjicit: *τῷ τε διόλου ἥκειν τὸν μέσον γε καυλὸν καὶ τῇ ἄλλῃ ὄψει παραπλήσια.*

καὶ τούτ.] U Sch.syll.; *καὶ* om. cett.

καυλῶν] P Ald. Sch.; *κλάδων* cum RConst. H. St.

ἀπλυσίαι] e corr. RConst. H. St. Sch.; *πλύσιαι* U Ald., *πλυσίαι* M, *πλουσίαι* V.

ἑτέραν] *ταῦτ' ἑτ.* St.

Cap. VII.

Ἡρακλέους] P$_2$ Ald. Edd.; *ἡρακλείας* Sch.

πράσον] *πράσα* M; *πράσῃ* et *ον* superscr. a m. rec. V.

θῦμα] *τὰ θῦμα* St.

τῆς—καλουμένης] *πρὸς δὲ τῇ ἐρύθρᾳ καλουμένῃ θαλάσσῃ* cum Bod. St. Schn., etsi verba ineptissima esse iudicat, nihil mutat.

Κόπτου] e corr. Scaligeri H. St. Sch.; *Capto* G. et Plin. 13, 25 s. 50; *κόπου* MV; *κόλπου* Ald.

τῇ Ἀρ.] U Sch.syll.; *τῇ* om. cett.

διψάδος] *δὲ ψάδος* M.

καὶ τὴν ἀν.] U Sch.syll.; *κα διὰ τὴν ἀν.* Ald. Edd.

τεττάρων ἢ πέντε καὶ τότε λάβρως καὶ ἐπ ὀλίγον χρόνον. ἐν δὲ τῇ θαλάττῃ
2. φύεται, καλοῦσι δ' αὐτὰ δάφνην καὶ ἐλάαν. ἔστι δὲ ἡ μὲν δάφνη ὁμοία τῇ ἀρίᾳ ἡ δὲ ἐλάα τῷ φύλλῳ· καρπὸν δὲ ἔχει ἡ ἐλάα παραπλήσιον ταῖς ἐλάαις· ἀφίησι δὲ καὶ δάκρυον ἐξ οὗ οἱ ἰατροὶ φάρμακον ἔναιμον συντιθέασιν ὃ γίνεται σφόδρα ἀγαθόν. ὅταν δὲ ὕδατα πλείω γένηται μύκητες φύονται πρὸς τῇ θαλάττῃ κατά τινα τόπον, οὗτοι δὲ ἀπολιθοῦνται ὑπὸ τοῦ ἡλίου. ἡ δὲ θάλαττα θηριώδης· πλείστους δὲ ἔχει τοὺς καρχαρίας ὥστε μὴ εἶναι κολυμβῆσαι. ἐν δὲ τῷ κόλπῳ τῷ καλουμένῳ Ἡρώων ἐφ' ὃν καταβαίνουσιν οἱ ἐξ Αἰγύπτου φύεται μὲν δάφνη τε καὶ ἐλάα καὶ θύμον, οὐ μὴν χλωρά γε ἀλλὰ λιθοειδῆ τὰ ὑπερέχοντα τῆς θαλάττης ὅμοια δὲ καὶ τοῖς φύλλοις καὶ τοῖς βλαστοῖς τοῖς χλωροῖς. ἐν δὲ τῷ θύμῳ καὶ τὸ τοῦ ἄνθους χρῶμα διάδηλον ὡσὰν μήπω τε-
3. λέως ἐξηνθηκός. μήκη δὲ τῶν δενδρυφίων ὅσον εἰς τρεῖς πήχεις. οἱ δὲ, ὅτε ἀνάπλους ἦν τῶν ἐξ Ἰνδῶν ἀποσταλέντων ὑπὸ Ἀλεξάνδρου, τὰ ἐν τῇ θαλάττῃ φυόμενα μέχρι οὗ μὲν ἂν ᾖ ἐν τῷ ὑγρῷ χρῶμά φασιν ἔχειν ὅμοιον τοῖς φυκίοις, ὁπόταν δ' ἐξενεχθέντα τεθῇ πρὸς τὸν ἥλιον ἐν ὀλίγῳ χρόνῳ ἐξομοιοῦσθαι τῷ ἁλί. φύεσθαι δὲ καὶ σχοίνους λιθίνους παρ' αὐτὴν τὴν θάλατταν οὓς οὐδεὶς ἂν διαγνοίη τῇ ὄψει πρὸς τοὺς ἀληθινούς. θαυμασιώτερον δέ τι τούτου λέγουσι· φύεσθαι γὰρ δενδρύφι' ἄττα τὸ μὲν χρῶμα ἔχοντα ὅμοιον κέρατι βοὸς τοῖς δὲ ὄζοις τραχέα καὶ ἀπ' ἄκρου πυρρά· ταῦτα δὲ θραύεσθαι μὲν εἰ συγκλώῃ τις· ἐκ δὲ τούτων πυρὶ ἐμβαλλόμενα καθάπερ τὸν σίδηρον διάπυρα γινόμενα πάλιν

θαλάττῃ] Auctore RConst. *ἐρυθρᾷ δένδρά τινα* addidit H., *δένδρά τινα* St.

καλοῦσι δ' αὐτὰ] UMVP Sch. syll.; *καὶ καλοῦσιν αὐτὰ* Ald. Edd.

2. *ἀρίᾳ*] *ἀριΐᾳ* P$_2$.

ἐλάα] U; *ἐλαία* Ald. Edd.

τῷ φύλλῳ] *τῷ φέλλῳ* cum RConst. St. Locus mutilus esse videtur.

παραπλήσιον] Ald. H. et St. *δὲ* addunt, quod omisit Sch. — Dein *τοῖς ἐλαίοις* St.

πλείστους] UP Ald. Sch.; *πλείους* M H. St.

Ἡρώων] sic monente Sch. correxi. Cf. 9, 4, 4 et 9. Strabo 17, p. 836; *ἡρῴῳ* P$_2$ Ald. Edd. — Verba *τῷ κόλπῳ* om. St.

ὅμοια δὲ] P$_2$ Ald. Edd.; *ὁμοιά γε* corr. Sch.

ὡσὰν — ἐξηνθηκός] Sic Ald., sed vocibus singulis non recte distinctis: *ὡς ἂν μή πωτε λέως ἐξ.*, et Bas. MVP; *ὡσὰν — ἐξηνθηκὼς* U; *ὡς ἂν μὴπωτε λίαν ἐξηνθηκὸς* Cam., unde *ὡσὰν μήποτε λίαν* H. St.

μήκη] U mBas. St. Sch.; *μήκει* MV Ald. H.; *μῆκος* P$_2$.

3. *οἱ δὲ ὅτε ἀνάπλους*] H. St. Sch.; *οἱ δὲ ὅτι ἀνάπλους* Ald.; *ἢ δὲ ὅτι ἆρα πλοῦς* UMV.

ὑπὸ] corr. H. St. Sch.; *ἀπὸ* Ald. M. — *Ἀλέξανδρον* M.

μέχρι — φασιν] U Sch. syll.; *μέχρις οὗ ἂν ᾖ ἐν τῷ ὑγρῷ χρῶμά φ.* Ald. Edd.; *μέχρει οὗ ἂν ᾖ ἐν ὑγρῶμα φ.* MV; *μέχρις οὗ ἂν ᾖ ἐν τῷ ὑγρῷ φασιν* P.

φυκίοις] *φυκοῖς* St.

ἐξενεχθέντα] H. St. Sch.; *ἐξεναχθέντα* Ald.

οι
σχοίνους] *σχίνους* P$_2$.

δέ τι τούτου] *τι* solus praebet U, Sch. syll.; *θαυμασιωτέρους δὲ τούτου* P$_2$.

δενδρύφι' ἄττα] Ald.; *δενδρύφια ἄττα* H. St.; *δενδιφίαττα* M.

πυρρά] M St. Sch.; *πυρά* P$_2$ Ald. H.

συγκλώῃ] P$_2$ Ald. H. Schn.; *συγκρούῃ* St. cum RConst.

πυρὶ ἐμβαλλόμενα] H. St. Sch.; *πῦρ ἐμβ.* UMV Ald. Ceterum locus haud integer est. *ἐκτὸς δὲ τούτου* St. Exc. P$_2$: *ταῦτα εἰς πῦρ μὲν ἐμβαλλόμενα πυραχτοῦται, ὡς σίδηρος· ἐκβληθέντα δὲ καὶ ψυχρανθέντα, πάλιν τὰ αὐτὰ διαμένει.*

γινόμενα πάλιν] U, unde *γενόμενα πάλιν* Sch. syll.; *γενόμενα πλὴν* Ald. Edd. o.

ὅταν ἀποψύχοιτο καθίστασθαι καὶ τὴν αὐτὴν χρόαν λαμβάνειν. ἐν δὲ ταῖς νήσοις ταῖς ὑπὸ τῆς πλημμυρίδος καταλαμβανομέναις δένδρα μεγάλα πεφυκέναι ἡλίκα πλάτανοι καὶ αἴγειροι αἱ μέγισται· συμβαίνειν δὲ ὅθ' ἡ πλημμυρὶς ἐπέλθοι τὰ μὲν ἄλλα κατακρύπτεσθαι ὅλα τῶν δὲ μεγίστων ὑπερέχειν τοὺς κλάδους ἐξ ὧν τὰ πρυμνησία ἀνάπτειν, εἶθ' ὅτε πάλιν ἄμπωτις γίνοιτο ἐκ τῶν ῥιζῶν. ἔχειν δὲ τὸ δένδρον φύλλον μὲν ὅμοιον τῇ δάφνῃ, ἄνθος δὲ τοῖς ἴοις καὶ τῷ χρώματι καὶ τῇ ὀσμῇ, καρπὸν δὲ ἡλίκον ἐλάα καὶ τοῦτόν εὐώδη σφόδρα· καὶ τὰ μὲν φύλλα οὐκ ἀποβάλλειν τὸ δὲ ἄνθος καὶ τὸν καρπὸν ἅμα τῷ φθινοπώρῳ γίνεσθαι τοῦ δὲ ἔαρος ἀπορρεῖν. ἄλλα δ' ἐν αὐτῇ τῇ θαλάττῃ πεφυκέναι, ἀείφυλλα μὲν τὸν δὲ καρπὸν ὅμοιον ἔχειν τοῖς θέρμοις. περὶ δὲ τὴν Περσίδα τὴν κατὰ τὴν Καρμανίαν καθ' ὃ ἡ πλημμυρὶς γίνεται δένδρα ἐστὶν εὐμεγέθη ὅμοια τῇ ἀνδράχλῃ καὶ τῇ μορφῇ καὶ τοῖς φύλλοις· καρπὸν δὲ ἔχει πολὺν ὅμοιον τῷ χρώματι ταῖς ἀμυγδάλαις ἔξωθεν τὸ δ' ἐντὸς συνελίττεται καθάπερ συνηρτημένον πᾶσιν. ὑποβέβρωται δὲ ταῦτα τὰ δένδρα πάντα κατὰ μέσον ὑπὸ τῆς θαλάττης καὶ ἕστηκεν ὑπὸ τῶν ῥιζῶν ὥςπερ πολύπους. ὅταν γὰρ ἡ ἄμπωτις γένηται θεωρεῖν ἐστιν. ὕδωρ δὲ ὅλως οὐκ ἔστιν ἐν τῷ τόπῳ· καταλείπονται δέ τινες διώρυχες δι' ὧν διαπλέουσιν· αὗται δ' εἰσὶ θαλάττης· ᾧ καὶ δῆλον οἴονταί τινες ὅτι τρέφονται ταύτῃ καὶ οὐ τῷ ὕδατι πλὴν εἴ τι ταῖς ῥίζαις ἐκ τῆς γῆς ἕλκουσιν. εὔλογον δὲ καὶ τοῦθ' ἁλμυρὸν εἶναι· καὶ γὰρ οὐδὲ κατὰ βάθους αἱ ῥίζαι. τὸ δὲ ὅλον ἓν τὸ γένος εἶναι τῶν τ' ἐν τῇ θαλάττῃ φυομένων καὶ τῶν ἐν τῇ γῇ ὑπὸ τῆς πλημμυρίδος καταλαμβανομένων· καὶ τὰ μὲν ἐν τῇ θαλάττῃ

4. 5. 6.

ἀποψύχοιτο] Ald. Edd.; *ἀποφύγηται* R Const. Sch.; Cf. Kühner ad Xen. Mem. 4, 1, 2. Schneid. ad Plat. Civ. 3. p. 412 D.

4. *καὶ αἴγειροι αἱ μέγισται*] UMV Sch.; om. Ald. H. St.

συμβαίνειν] corr. RConst. H. St. Sch.; *συμβαίνει* Ald.

γίνοιτο] *γίγνοιτο* M.

τὰ δένδρα] *ταῦτα* add. St.

τοῖς ἴοις] mBas. et Sch., qui *λευκοΐοις* dare voluisse videtur; *ἴσοις* UMV; *οἴσοις* Ald. H.; *λευκοΐοις* St.; *violis* G.; *flos violae et odore et colore* Plin. 13 s. 51. Arrian. Anab. 6, 22, 10. *καὶ τὸ ἄνθος εἶναι τῷ λευκῷ μάλιστα ἴῳ προσφερές.*

ἐλάα] U; *ἐλαία* Ald. Edd.

5. *θέρμοις*] *θερμοῦσι* M.

κατὰ τὴν χαρ.] U, Sch.syll.; *τὴν* om. Ald. Edd. o.; *κατὰ τὴν* om. P.

καθ' ὃ ἡ] UMVP Sch.; *qua maris aestus fieri solet* G.; *καθ' ἣν ἡ* Ald. Edd.

καρπὸν δ' ἔχει πολὺν] *ἄνθη δ' ἔχει πολλὰ ὅμοια* etc. St.; *ἔχειν* dat U.

ἀμυγδάλαις] Ald. Edd.; *ἀμυγδαλαῖς* Sch. Cf. ad 1, 11, 2.

τὸ δ' ἐντὸς] H. St. Sch.; *τὸ δ' ἐκτὸς* UMV Ald.; *interna vero singulis quasi connexa involutantur* G. *συνῃρημένον* P et auct. RConst. H.; *συνηρτημένα ἐν π.* St. Plin. 12, 9 *pomumque amygdalis, intus contortis nucleis.* Locus satis obscurus, vix integer.

θαλάττης] Comma insequens *ὅταν — ἐστιν* hic interseruit Sch. Equidem veterem ordinem servavi.

ὑπὸ τ. ῥ.] *ἐπὶ τ. ῥ.* St. — *πουλύπους* U.

6. *οὐκ ἔστιν*] UMVP Sch.; om. Ald. H.; *ὕδ. δὲ οὐδὲν ὅλως τότε ἐν* St.; *οὐδὲν* addit jam mBas.

δέ τινες] U Sch.syll.; *γάρ τινες* Ald. Edd.

διαπλέουσιν] *διαρέουσιν. ταῦτα δ' εἰσὶ ἐν θαλάττῃ* St.

ᾧ καὶ] U, St. et Sch. cum G. et Plin.; *ὃ καὶ* Ald. Edd.

ὅτι τρεφ.] U Sch.syll.; *ὅτι* om. MV; *ὡς τ.* Ald. Edd. — Deinceps *οὔπω ὕδ.* M.

ἕλκουσιν] U Sch.syll.; *ἕλκονται* Ald. Edd.

τῶν τ' ἐν τ.] UMP Vo. Sch.; *τῶν δ' ἐν τ.* Ald.; *τῶν ἐν τῇ* H. St.

μικρὰ καὶ φυκώδη φαινόμενα, τὰ δ' ἐν τῇ γῇ μεγάλα καὶ χλωρὰ καὶ ἄνθος εὔ-
7. 9 H.St. οδμον ἔχοντα, καρπὸν δὲ οἷον θέρμος. ἐν Τύλῳ δὲ τῇ νήσῳ, κεῖται δ' αὕτη ἐν τῷ ἀραβίῳ κόλπῳ, τὰ μὲν πρὸς ἕω τοσοῦτο πλῆθος εἶναί φασι δένδρων ὅτ' ἐκβαίνει ἡ πλημμυρὶς ὥστ' ἀπηχυρῶσθαι. πάντα δὲ ταῦτα μεγέθη μὲν ἔχειν ἡλίκα συκῆ, τὸ δὲ ἄνθος ὑπερβάλλον τῇ εὐωδίᾳ, καρπὸν δὲ ἄβρωτον ὅμοιον τῇ ὄψει τῷ θέρμῳ. φέρειν δὲ τὴν νῆσον καὶ τὰ δένδρα τὰ ἐριοφόρα πολλά. ταῦτα δὲ φύλλον μὲν ἔχειν παρόμοιον τῇ ἀμπέλῳ πλὴν μικρὸν, καρπὸν δὲ οὐδένα φέρειν. ἐν ᾧ δὲ τὸ ἔριον ἡλίκον μῆλον ἐαρινὸν συμμεμυκός· ὅταν δὲ ὡραῖον ᾖ ἐκπετάννυσθαι καὶ ἐξείρειν τὸ ἔριον, ἐξ οὗ τὰς σινδόνας ὑφαίνουσι, τὰς
8. μὲν εὐτελεῖς τὰς δὲ πολυτελεστάτας. γίνεται δὲ τοῦτο καὶ ἐν Ἰνδοῖς ὥςπερ ἐλέχθη καὶ ἐν Ἀραβίᾳ. εἶναι δὲ ἄλλα δένδρα τὸ ἄνθος ἔχοντα ὅμοιον τῷ λευκοΐῳ πλὴν ἄοδμον τῷ μεγέθει καὶ τετραπλάσιον τῶν ἴων. καὶ ἕτερον δέ τι δένδρον πολύφυλλον ὥςπερ τὸ ῥόδον· τοῦτο δὲ τὴν μὲν νύκτα συμμύειν ἅμα δὲ τῷ ἡλίῳ ἀνιόντι διοίγνυσθαι, μεσημβρίας δὲ τελέως διεπτύχθαι, πάλιν δὲ τῆς δείλης συνάγεσθαι κατὰ μικρὸν καὶ τὴν νύκτα συμμύειν· λέγειν δὲ καὶ τοὺς ἐγχωρίους ὅτι καθεύδει. γίνεσθαι δὲ καὶ φοίνικας ἐν τῇ νήσῳ καὶ ἀμπέλους καὶ τἄλλα ἀκρόδρυα καὶ συκᾶς οὐ φυλλορροούσας. ὕδωρ δὲ οὐράνιον γίνεσθαι μὲν, οὐ μὴν χρῆσθαί γε πρὸς τοὺς καρπούς· ἀλλ' εἶναι κρήνας ἐν τῇ νήσῳ

φυκώδη φαινόμενα τὰ δ' ἐν] dedi e conj.; *φυκώδη φυόμενα δ' ἐν* MV Ald. Schn. retraxit *φυόμενα* post *θαλάττῃ* et scripsit dein *τὰ δ' ἐν*. U habet *φενόμενα* scriptura dubia, quare *φαινόμενα* scribendum esse conjicio. Ceterum MV verba *καὶ τῶν ἐν τῇ γῇ — καταλαμβανομένων* ac post *μικρὰ καὶ* omittunt. — *et marina quidem pusilla et ficus speciem provenire* G., unde *συκώδη* mBas. adnotavit.

ἄνθος εὔοδμον mBod. St. Sch.; *ἄνθοδμον* Ald.; *ἄνθ' ὄδμον* V.; *ἄνθ οδμον* literis 2 erasis U.

θέρμος] *θέρμοις* P.

7. *δ' αὕτη*] Vo. Sch.; *δ' αὐτὴ* Ald. Edd.

ἀραβίῳ] MVP$_2$; *ἀραβίοι* U; *ἀραβικῷ* Ald. Edd.

ἕω] Sch.; *ἠῶ* Ald. Edd.; *ἐν τοῖς πρὸς ἠῶ* St. — *τοσοῦτο* U, *τοσοῦτον* Ald. Edd.

ἀπηχυρῶσθαι] UMV Ald. Sch.syll.; *ἀπωχυρῶσθαι* H. St. Sch.cont.

ἔχειν — συκῆ] *ἔχει — ἡ συκῆ* St.

δένδρα τὰ ἐριοφ.] St. et Sch.; *δ. καὶ τὰ ἐ.* Ald. H.

παρόμοιον] U; *ὅμοιον* Ald. Edd.; *οἷον* P.

μικρὸν] *μικρότερον* St.

οὐδένα] P$_2$ H. St. Sch.; *οὐδὲν* MV Ald.

ἐξείρειν] sic correxi; *ἐξειαίρειν* P$_2$; *ἐξαίρειν* Ald. Edd. o.; *excipi* G.; *ἐξωρεῖσθαι* malebat Schn.

εἶναι δὲ] *φασι* i. u. addit St. Mox idem *τὸ* ante *ἄνθος* omittit.

8. *λευκοΐῳ* P H. St. Sch.; *λευκίῳ* Ald.

πλὴν ἄοδμον] corr. H. Steph. in Thes. et Scal., H. St. Sch.; *πλείονα ὄδμον* UM Ald.

μεγ. καὶ] UMVP Sch.; *καὶ* om. Ald. Edd. — *τριπλάσιον* MV. Dein *ἰῶν* P.

ἕτερον δὲ] UMVP Sch.; *δὲ* om. Ald. Edd.

ῥόδον] *δένδρον* P$_2$.

ἀνιόντι διοίγνυσθαι] *ἐξανιοντιαν οἴγνυσθαι* P$_2$ sic.

διεπτύχθαι] PP$_2$ corr. Scal. et H. Steph. in Thes., H. St. Sch.; *διεπτύσθαι* Ald.

συνάγεσθαι κατὰ μικρὸν] St. Sch.; *συν. τὴν μικρὸν* UMV; *συν. καὶ κατὰ μικρὸν* Ald. H.

συμμύειν] U St. Sch.; *συμβαίνειν* MV Ald.; *σημαίνειν* RConst. H. Antea *καὶ* om. Ald. H.

ἐγχωρίους] Edd. post H.; *ἐχχωρ.* Ald.

ἐν τῇ νήσῳ] H. St. Sch.; *ἐν νήσῳ* Ald.; *ἐν τήσω* M; *εν τή σῶ* V. — Ante *φοίνικας* habent *τοὺς* Ald. Edd., om. U Sch.syll. —

συκᾶς οὐ φυλλορροούσας] dedi de conj.; *συκᾶς αἳ φυλλορροοῦσιν* Ald. H.; *σ. αἳ οὐ φυλλ.* St.; *συκᾶς αἳ οὐδέποτε φυλλορροοῦσιν* mBas. Schn. Negatio necessario inserenda est, eamque habent G. et Plin.

κρήνας ἐν] U Sch. syll.; *κρήνας μὲν ἐν* Ald. Edd.

πολλὰς ἀφ' ὧν πάντα βρέχειν ὃ καὶ συμφέρειν μᾶλλον τῷ σίτῳ καὶ τοῖς δένδρεσιν. διὸ καὶ ὅταν ὄσῃ τοῦτο ἐπαφιέναι καθαπερεὶ καταπλύνοντας ἐκεῖνο. καὶ τὰ μὲν ἐν τῇ ἔξω θαλάττῃ δένδρα τά γε νῦν τεθεωρημένα σχεδὸν τοσαῦτά ἐστιν.

Cap. VIII. Ὑπὲρ δὲ τῶν ἐν τοῖς ποταμοῖς καὶ τοῖς ἕλεσι καὶ ταῖς λίμναις μετὰ ταῦτα λεκτέον. τρία δέ ἐστιν εἴδη τῶν ἐν τούτοις, τὰ μὲν δένδρα τὰ δ' ὥςπερ ποιώδη τὰ δὲ λοχμώδη. λέγω δὲ ποιώδη μὲν οἷον τὸ σέλινον τὸ ἕλειον καὶ ὅσα ἄλλα τοιαῦτα· λοχμώδη δὲ κάλαμον κύπειρον φλεὼ σχοῖνον βούτομον ἅπερ σχεδὸν κοινὰ πάντων τῶν ποταμῶν καὶ τῶν τοιούτων τόπων. ἐνιαχοῦ δὲ καὶ βάτοι καὶ παλίουροι καὶ τὰ ἄλλα δένδρα καθάπερ ἰτέα λεύκη πλάτανος. τὰ μὲν οὖν μέχρι τοῦ κατακρύπτεσθαι, τὰ δὲ ὥστε μικρὸν ὑπερέχειν, τῶν δὲ αἱ μὲν ῥίζαι καὶ μικρὸν τοῦ στελέχους ἐν τῷ ὑγρῷ τὸ δὲ ἄλλο σῶμα πᾶν ἔξω. τοῦτο γὰρ καὶ ἰτέᾳ καὶ κλήθρᾳ καὶ πλατάνῳ καὶ φιλύρᾳ καὶ πᾶσι τοῖς φιλύδροις συμβαίνει. σχεδὸν δὲ καὶ ταῦτα κοινὰ πάντων τῶν ποταμῶν ἐστιν· ἐπεὶ καὶ ἐν τῷ 2.
Νείλῳ πέφυκεν· οὐ μὴν πολλή γε ἡ πλάτανος, ἀλλὰ σπανιωτέρα ἔτι ταύτης ἡ λεύκη, πλείστη δὲ μελία καὶ βουμέλιος. τῶν γοῦν ἐν Αἰγύπτῳ φυομένων τὸ μὲν ὅλον πολὺ πλῆθός ἐστιν πρὸς τὸ ἀριθμήσασθαι καθ' ἕκαστον· οὐ μὴν ἀλλ' ὥς γε ἁπλῶς εἰπεῖν ἅπαντα ἐδώδιμα καὶ χυλοὺς ἔχοντα γλυκεῖς. διαφέρειν δὲ δοκεῖ τῇ γλυκύτητι καὶ τῷ τρόφιμα μάλιστα εἶναι τρία ταῦτα ὅ τε πάπυρος καὶ τὸ καλούμενον σάρι καὶ τρίτον ὃ μνάσιον καλοῦσι. φύεται δὲ ὁ πάπυρος 3.
οὐκ ἐν βάθει τοῦ ὕδατος ἀλλ' ὅσον ἐν δύο πήχεσιν, ἐνιαχοῦ δὲ καὶ ἐν ἐλάττονι. πάχος μὲν οὖν τῆς ῥίζης ἡλίκον καρπὸς χειρὸς ἀνδρὸς εὐρώστου, μῆκος δὲ ὑπὲρ

ὃ καὶ συμφέρειν] corr. Sch.; ἃ καὶ συμφέρει Ald. Edd., sed ὃ etiam St. et συμφέρειν U.

καθαπερεὶ καταπλύνοντας] Sch.; κ. καταπλύνοντας U; καθάπερ εἰς καταπλύναντες M; καθαπερεὶ οἱ καταπλύνοντες Ald. et omisso οἱ St.

θαλάττῃ] UMV Sch.syll.; θαλάσσῃ Ald. Edd.

τεθεωρημένα] U Sch.; τεθεωρουμένα M VP; θεωρούμενα Ald. H. St.

Cap. VIII.

ἐν τοῖς ποταμοῖς] περὶ τοὺς ποταμούς St.

καὶ τοῖς ἕλεσι] MV Sch.syll.; καὶ ἐν τοῖς ἑλ. Ald. Edd.; καὶ τοῖς ἕλουσι U.

παλίουροι καὶ τὰ ἄλλα δένδρα καθάπερ] UMV Sch.syll.; παλίουροι καὶ τὰ ἄλλα. δένδρα δὲ καθάπερ Ald. Edd.

τὰ μὲν οὖν μέχρι τοῦ κατακρύπτ.] Sch. syll.; in cont. dederat τὰ μὲν οὖν ὥστε ὑπὸ τοῦ ὕδατος κατακρ., οὖν assumto e V, verbis ὑπὸ et ὕδατος ab H. et St.; τὰ μὲν ὥστε τοῦ κατακρ. M Ald.; τὰ μὲν οὖν ὥστε τοῦ κατακρ. V; τὰ μὲν ὥστε μέχρι τοῦ κατακρ. U.

σῶμα πᾶν] UMV Sch.; πᾶν σῶμα Ald. Edd.

2. ἀλλὰ σπ. ἔτι ταύτης ἡ λεύκη] UMV Ald. Sch.; ἀλλὰ σπ. ἔστι ταύτης. καὶ ἡ λεύκη H. St.

βουμέλιος] MV Ald. H.; βουμέλινος U; βουμελία St. Sch. Equidem codices secutus et hic et 3, 11, 4 βουμέλιος scripsi.

πρὸς τὸ ἀριθμήσασθαι] UMV Sch.syll.; εἰς τὸ ἀρ. Ald. H. St.; εἰς τὸν ἀριθμὸν Sch.cont.

ὥς γε] U Schn.syll.; ὥστε Ald. Edd.

τρίτον ὃ μνάσιον] Ald Edd.; τρ. ὃ μνάσι U; τρίον ὅμνασι M; τρίλι ὃ μνάσι P.

3. ῥίζης—ἀνδρὸς] Verba ἡλίκον et χειρὸς solus dat U; ῥίζης καρπὸς ἀνδρὸς Ald. Edd.; St. ὡς inseruit post ῥίζης.

δέκα πήχεις· φύεται δὲ ὑπὲρ τῆς γῆς αὐτῆς πλαγίας ῥίζας εἰς τὸν πηλὸν καθιεῖσα λεπτὰς καὶ πυκνάς, ἄνω δὲ τοὺς παπύρους καλουμένους τριγώνους, μέγεθος ὡς τετραπήχεις, κόμην ἔχοντας ἀχρεῖον ἀσθενῆ καρπὸν δὲ ὅλως οὐδένα·
4. τούτους δ' ἀναδίδωσι κατὰ πολλὰ μέρη. χρῶνται δὲ ταῖς μὲν ῥίζαις ἀντὶ ξύλων οὐ μόνον τῷ κάειν ἀλλὰ καὶ τῷ σκεύῃ ἄλλα ποιεῖν ἐξ αὐτῶν παντοδαπά· πολὺ γὰρ ἔχει τὸ ξύλον καὶ καλόν. αὐτὸς δὲ ὁ πάπυρος πρὸς πλεῖστα χρήσιμος· καὶ γὰρ πλοῖα ποιοῦσιν ἐξ αὐτοῦ καὶ ἐκ τῆς βίβλου ἱστία τε πλέκουσι καὶ ψιάθους καὶ ἐσθῆτά τινα καὶ στρωμνὰς καὶ σχοινία τε καὶ ἕτερα πλείω. καὶ ἐμφανέστατα δὴ τοῖς ἔξω τὰ βιβλία· μάλιστα δὲ καὶ πλείστη βοήθεια πρὸς τὴν τροφὴν ἀπ' αὐτοῦ γίνεται. μασῶνται γὰρ ἅπαντες οἱ ἐν τῇ χώρᾳ τὸν πάπυρον καὶ ὠμὸν καὶ ἑφθὸν καὶ ὀπτόν· καὶ τὸν μὲν χυλὸν καταπίνουσι τὸ δὲ μάσημα ἐκβάλλουσιν. ὁ μὲν οὖν πάπυρος τοιοῦτός τε καὶ ταύτας παρέχεται τὰς χρείας. γίνεται δὲ καὶ ἐν Συρίᾳ περὶ τὴν λίμνην ἐν ᾗ καὶ ὁ κάλαμος ὁ εὐώδης· ὅθεν
5. καὶ Ἀντίγονος εἰς τὰς ναῦς ἐποιεῖτο τὰ σχοινία. τὸ δὲ σάρι φύεται μὲν ἐν τῷ ὕδατι περὶ τὰ ἕλη καὶ τὰ πεδία ἐπειδὰν ὁ ποταμὸς ἀπέλθῃ, ῥίζαν δὲ ἔχει σκληρὰν καὶ συνεστραμμένην, καὶ ἐξ αὐτῆς φύεται τὰ σαρία καλούμενα· ταῦτα δὲ μῆκος μὲν ὡς δύο πήχεις πάχος δὲ ἡλίκον ὁ δάκτυλος ὁ μέγας τῆς χειρός· τρίγωνον δὲ καὶ τοῦτο καθάπερ ὁ πάπυρος καὶ κόμην ἔχον παραπλήσιον. μασώμενοι δὲ ἐκβάλλουσι καὶ τοῦτο τὸ μάσημα, τῇ ῥίζῃ δὲ οἱ σιδηρουργοὶ χρῶν-
6. ται· τὸν γὰρ ἄνθρακα ποιεῖ χρηστὸν διὰ τὸ σκληρὸν εἶναι τὸ ξύλον· τὸ δὲ

ὑπὲρ τῆς γῆς αὐτῆς] Varia conati sunt interpretes in hoc loco. Jos. Scalig. ad Guilandin. de Papyro p. 27 corr. *ὑπὲρ τῆς γῆς αὕτη, πλαγίας — καθιεῖσα. λεπτοὺς δὲ καὶ πυκνοὺς ἄνω τοὺς παπύρους.* Salm. Ex. p. 37 *φύει δὲ ὑπὸ τῆς γῆς αὕτη.* Schn. conjicit: *αὐτὴ πλαγία, ῥίζας εἰς — πυκνάς.* Spreng. ad h. l.: *Man muss dem Text keine Gewalt anthun, um Theophrast's Untrüglichkeit zu erweisen.* Recte!

δέκα πήχεις — τετραπήχεις] Bartels Reise nach Sicilien und Calabrien 3, 857, 862. animadvertit longitudinem radicis et culmi permutatas locumque corrigendum esse, quod probavit Schn., ipse tamen non fecit.

ἀχρεῖον] U Sch.syll.; *ἀχρεῖαν* Ald. Edd.

4. *κάειν*] U; *καίειν* Ald. Edd. In hac voce scribenda sequor codicem optimum, qui praeter hunc locis 9 (H. 4, 14, 10. 6, 8, 5. C. 2, 1, 7. 2, 5, 4. 2, 7, 5. 3, 19, 1. 5, 12, 2. 5, 15, 6. 6, 5, 2.) formam atticam, tribus vero (C. 3, 9, 5. 3, 20, 5. 5, 14, 8.) vulgarem praebet. Praeterea Ald. H. 4, 14, 11 bis ac 4, 14, 12 formam atticam, H. 4, 11, 13 ac cum P_2 H. 6, 6, 6 formam vulgarem praebet, quibus locis varietas nulla adnotata est.

σκεύῃ ἄλλα] *ἄλλα* om. G.. Schn. seclusit.

αὐτῶν] corr. RConst. St. Schn.; *αὐτοῦ* Ald. H.

ἔχει] Ald. H. St.; *ἔχουσι* Schn. auctore RConst. At sine negotio *ῥίζα* subauditur.

ἱστία] *ἰστία* Ald.

ἐσθῆτά τινα] UMV Sch.syll.; *ἐσθῆτάς τινας* Ald. Edd.; *vestem quandam* G.

τὰ βιβλία] *chartae* G. Damnavit haec verba Jos. Scalig.. quod omissa sint a Plinio. Schneider dubitat utrum *βιβλία* sint *funes* h. l. an *libri*. Mihi vix dubium esse videtur, quin *libri* significentur. Cf. C. A. Böttiger's kleine Schriften v. Sillig. 3, p. 382.

τὸν πάπυρον] UMV Sch.; *τὸν* om. Ald. Edd.

καὶ ταύτας] U Sch. syll.; *καὶ τοιαύτας* Ald. Edd.

καὶ ἐν Συρίᾳ] UMVP Sch.; *καὶ* om. Ald. Edd., habent G. et Plinius.

Ἀντίγονος] *Ἀντιγόνος* M.

ναῦς] om. UMV, habent Ald. Edd., G. et Plin. *in navalibus rebus.*

5. *σάρι*] Hesych. vocat *σαρὶν, σαρὸν*, Plin. 13, 23 s. 45 *Sari*, ubi alii codices *saripha* exhibent.

τρίγωνον δὲ καὶ] UMP Sch.; *καὶ* om. Ald. Edd.

τοῦτο τὸ] *τούτου τὸ* St.

μνάσιον ποιῶδές ἐστιν, ὥστ' οὐδεμίαν παρέχεται χρείαν πλὴν τὴν εἰς τροφήν. καὶ τὰ μὲν γλυκύτητι διαφέροντα ταῦτά ἐστι. φύεται δὲ καὶ ἕτερον ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις ὃ οὐ συνάπτει τῇ γῇ, τὴν μὲν φύσιν ὅμοιον τοῖς κρίνοις πολυφυλλότερον δὲ καὶ παρ' ἄλληλα τὰ φύλλα καθάπερ ἐν διστοιχίᾳ· χρῶμα δὲ χλωρὸν ἔχει σφόδρα. χρῶνται δὲ οἱ ἰατροὶ πρός τε τὰ γυναικεῖα αὐτῷ καὶ πρὸς τὰ κατάγματα. ταῦτα δὲ γίνεται καὶ ἐν τῷ ποταμῷ εἰ μὴ ὁ ῥοῦς ἐξέφερεν· συμβαίνει δὲ ὥστε ἀποφέρεσθαι καὶ ἕτερα ἐν αὐτῷ πλείω. ὁ δὲ κύαμος 7. 10 H. St.
φύεται μὲν ἐν τοῖς ἕλεσι καὶ λίμναις, καυλὸς δὲ αὐτοῦ μῆκος μὲν ὁ μακρότατος εἰς τέτταρας πήχεις, πάχος δὲ δακτυλιαῖος, ὅμοιος δὲ καλάμῳ μαλακῷ ἀγονάτῳ. διαφύσεις δὲ ἔνδοθεν ἔχει δι' ὅλου διειλημμένας ὁμοίας τοῖς κηρίοις· ἐπὶ τούτῳ δὲ ἡ κωδύα, παρομοία σφηκίῳ περιφερεῖ, καὶ ἐν ἑκάστῳ τῶν κυττάρων κύαμος μικρὸν ὑπεραίρων αὐτῆς, πλῆθος δὲ οἱ πλεῖστοι τριάκοντα. τὸ δὲ ἄνθος διπλάσιον ἢ μήκωνος, χρῶμα δὲ ὅμοιον ῥόδῳ κατακορές· ἐπάνω δὲ τοῦ ὕδατος ἡ κωδύα. παραφύεται δὲ φύλλα μεγάλα παρ' ἕκαστον τῶν κυάμων, ὧν ἴσα τὰ μεγέθη πίλῳ θετταλικῇ τὸν αὐτὸν ἔχοντα καυλὸν τῷ τῶν κυάμων.

6. *μνάσιον*] H. St. Sch.; *μναύσιον* UMV Ald.; *mnasium* G.

πλὴν τὴν] UMVP Sch.; *τὴν* om. Ald. Edd.

διστοιχίᾳ] *διατοιχειαι* U; *et folia inter sese quasi uno condita versu* G.

καὶ—κατάγματα] Haec omisit G.

ταῦτα δὲ γίνεται—ἐν αὐτῷ πλείω] Haec exhibui fere ad mentem Schneideri, commatis transpositis et singulis verbis, ut opus esse videbatur, mutatis. Ald.: *σημαίνει δὲ ὥςπερ καὶ ἀποφέρεσθαι· ἕτερα δὲ ἀπ' αὐτῶν τὰ πλεῖα· ταῦτα δὲ γίνεται ἐν τῷ ποταμῷ· εἰ μὴ ὁ ῥοῦς ἐξέφερεν.* In Urb. est *αὐτῶν πλείω*. St.: *συμβαίνει δ' ὥςπερ ἀποφέρεσθαι· ἕτερα δὲ ἀπ' αὐτῶν πλείω ταὐτά· γίνεται δὲ ἐν τῷ π.* etc. Schn. edidit: *ταῦτα δὲ γίνεται [καὶ] ἐν τῷ ποταμῷ εἰ μὴ ὁ ῥοῦς ἐξέφερεν· συμβαίνει δὲ ὥςτε ἀποφέρεσθαι, [ὥςπερ καὶ] ἕτερα πλείω τὰ ἐπ' αὐτῷ*; sed in Comm. paullo aliter haec scribi voluit. Gaza omnia haec omisit. Aliorum interpretum commenta referre non juvat. Omnino haec verba cum ceteris non cohaerent, quare aut aliunde huc immigrasse aut quaedam excidisse suspicor.

7. *φύεται μὲν*] *ἐν Αἰγύπτῳ* add. St.

μαλακῷ ἀγονάτῳ] Ald. H. Sch.; *μακρῷ ἀγώνατος* St.; *μακρῷ ἀγονάτῳ* Athenae. 3 p. 72; *calamo molli non geniculato* G.; *nec genicula habet molli calamo* Plin. 18, 12 s. 30.

τοῖς κηρίοις] H. Schn. ex Athen. l. l.; *τοῖς κρίνοις* Ald.; *lilii modo* G. Verba *διειλημμένας—κρίνοις* omisit St.

κωδύα] UM Sch.; *κωδία* Ald. Edd. et Athen. l. l. Sed in Athenaeo scribendum esse *κωδύα* colligas ex Eustath. p. 999 et 1616.

σφηκίῳ] Vo. Cam. H. St. Sch.; *σφηκείωι* U; *σφοκίῳ* PV Ald.; *favo orbiculato vesparum non absimile* G.

κυττάρων] auctore RConst. H. St. Sch.; *κυτάρων* U; *κητάρων* M Ald. Vide ad lib. 2 extr.

αὐτῆς] UMV Ald. Sch.syll.; *αὐτοῦ* cum RConst. H. St. Sch.cont.

κωδύα] UM Sch.; *κωδία* Ald. Edd.

τῶν κυάμων] Schn. suspicatur *τῶν καυλῶν* a Theo. scriptum fuisse: Spreng. contra hic et mox *κωδίων* substituendum esse censet. Neutrum verum. Manifestum *κύαμον* et totam plantam et fructum audivisse, id quod et Graecorum et aliarum gentium lingua fieri solet.

ὧν ἴσα] dedi de conj.; *ὧν καὶ* Ald. Edd. Sch. *ἴσα* post *θετταλικῇ* i. u. posuit, St. ibidem *ἔοικεν* interseruit.

πίλῳ θετ.] Ald. H. St.; *πετάσῳ* dedit Schn. quod *πίλῳ* non sexu foemineo usurpetur, dein quod infra § 9 folia loti ipsa *πετάσοι* nominentur, tum quod Dioscorid. 2, 123, qui aperte Theophrastum excerpserit, *ἔχει δὲ φύλλον μέγα ὡς πέτασον* scripserit.

τὸν αὐτὸν] Haec usque ad *κυάμων* om. G. Equidem *τὸν αὐτὸν* pro *ὅμοιον* dictum esse vix credo, quare haec verba vitiosa esse suspicor.

συντρίψαντι ὃ ἕκαστον τῶν κυάμων φανερόν ἐστι τὸ πικρὸν συνεστραμμένον ἐξ
8. οὗ γίνεται ὁ πῖλος. τὰ μὲν οὖν περὶ τὸν καρπὸν τοιαῦτα. ἡ δὲ ῥίζα παχυτέρα τοῦ καλάμου τοῦ παχυτάτου καὶ διαφύσεις ὁμοίως ἔχουσα τῷ καυλῷ. ἐσθίουσι δ' αὐτὴν καὶ ὠμὴν καὶ ἑφθὴν καὶ ὀπτήν, καὶ οἱ περὶ τὰ ἕλη τούτῳ σίτῳ χρῶνται. φύεται μὲν οὖν ὁ πολὺς αὐτόματος· οὐ μὴν ἀλλὰ καὶ καταβάλλουσιν ἐν πηλῷ ἀχυρώσαντες εὖ μάλα πρὸς τὸ κατενεχθῆναί τε καὶ μεῖναι καὶ μὴ διαφθαρῆναι· καὶ οὕτω κατασκευάζουσι τοὺς κυαμῶνας· ἂν δ' ἅπαξ ἀντιλάβηται μένει διὰ τέλους. ἰσχυρὰ γὰρ ἡ ῥίζα καὶ οὐ πόρρω τῆς τῶν καλάμων πλὴν ἐπακανθίζουσα· διὸ καὶ ὁ κροκόδειλος φεύγει μὴ προσκόψῃ τῷ ὀφθαλμῷ τῷ μὴ ὀξὺ καθορᾷν· γίνεται δὲ οὗτος καὶ ἐν Συρίᾳ καὶ κατὰ Κιλικίαν, ἀλλ' οὐκ ἐκπέττουσιν αἱ χῶραι· καὶ περὶ Τορώνην τῆς Χαλκιδικῆς ἐν λίμνῃ τινὶ μετρίᾳ
9 τῷ μεγέθει· καὶ αὕτη πέττει καὶ τελεοκαρπεῖ. ὁ δὲ λωτὸς καλούμενος φύεται μὲν ὁ πλεῖστος ἐν τοῖς πεδίοις ὅταν ἡ χώρα κατακλυσθῇ. τούτου δὲ ἡ μὲν τοῦ καυλοῦ φύσις ὁμοία τῇ τοῦ κυάμου καὶ οἱ πέτασοι δὲ ὡσαύτως πλὴν ἐλάττους καὶ λεπτότεροι. ἐπιφύεται δὲ ὁμοίως ὁ λωτὸς τῷ τοῦ κυάμου. τὸ ἄνθος αὐτοῦ λευκὸν ἐμφερὲς τῇ στενότητι τῶν φύλλων τοῖς τοῦ κρίνου, πολλὰ δὲ καὶ πυκνὰ ἐπ' ἀλλήλοις φύεται. ταῦτα δὲ ὅταν μὲν ὁ ἥλιος δύῃ συμμύει καὶ συγ-

τὸ πικρὸν] UMV Ald. Sch.; *πικρὸν* om. H.; *τι μικρὸν* auctore Scaligero St. *πικρὸν* tuetur Sch. e Dioscor. l. l.

ὁ πῖλος] UMV; *ἡ πίλος* Ald. St. et sine accentu H.; *ἡ πῖλος* Sch. Equidem haec verba vitiosa esse et scriptum fuisse nomen censeo, quod medicamen sive praeparatum medicum indicarit. Sch. *ὁ βλαστὸς* substituendum esse suspicatur.

8. *τοῦ καλάμου*] Ald. H. St.; *τοῦ* ejecit Sch., sine causa idonea. — Dein *διαφύσεις* P.

ὁμοίως] Ald. H. St.; *ὁμοίας* Schn.

σίτῳ] *ὡς σίτῳ* St.

οὖν ὁ πολὺς] U Sch.syll.; *οὖν καὶ πολὺς* Ald. Edd.

οὐ μὴν — πηλῷ] dedi cum Ald. inserto *καὶ* ante *καταβάλλουσιν*; sic quoque UMV, sed *καταβάλλουσι δ' ἐν* habent. Schn. dedit: *οὐ μὴν ἀλλὰ καὶ σπείρουσι· καταβάλλουσι δ' ἐν π.* Verbum *σπείρουσι* e Gazae versione ducere sibi visus est Schn.; at is v. *καταβάλλουσι* expressit per *seritur*. MV *πιλῷ*.

ἀχυρώσαντες] Ald. H. St.; *paleis large admistis* G.; *φυράσαντες* Sch. e conj. Salmas. Exerc. p. 679. Si genuina est vulgata sic explicanda est: semina nelumbii involvebantur limo tecta paleis, ut ne a nimia humiditate perderentur sed certius germinarent; sic *ἀχυρώσαντες* ad *διὰ τὸ μὴ διαφθαρῆναι* referendum est. An *ὀχυρώσαντες*, *limi tegmento tanquam vallo munientes*, legendum?

μὴ διαφθαρῆναι] cod.Casaub., Schn.; *μὴ* om. Ald. H.; *ut descendat incorrupta-que maneat* G.; *πρὸς τὸ μὴ κατενεχθῆναι καὶ διαφθαρῆναι* subridicule St.

κυαμῶνας] U, Sch. e conj.; *κυάμονας* Ald. Edd.

πλὴν — καθορᾶν] Haec omnia huc removenda et post *καλάμῳ μαλακῷ ἀγονάτῳ* § 7. ponenda esse censet Sch., absque causa probabili.

πέττει καὶ τελεοκαρπεῖ] sic Athen. l. l.; *πέττει καὶ τελειοῖ καὶ τελεοκαρπεῖ* Ald. Edd. Equidem cum Schneidero *καὶ τελειοῖ* e scripturae varietate orta esse censeo, quare omisi: ille seclusit. An scribendum *καὶ αὐτοῦ πέττεται τελέως καὶ τελεοκαρπεῖ?* — Paullo ante *αὕτη* dedi cum Schn.; *αὐτὴ* Ald. Edd. — *περὶ δὲ τορ.* scr. St.

9. *οἱ πέτασοι*] UMV Bas. Schn.syll.; *οἱ πεττοὶ* P; *οἱ πέτιασοι* Ald. Cam. H. St.; *αἱ πέτασοι* Sch.cont.

ὁμοίως] *ὁμοιόν τι* St.

ὁ λωτὸς] Sch. conj. *ὁ καυλὸς*, mihi vero *ὁ καρπὸς* scribendum esse videtur.

τὸ ἄνθος] *καὶ* anteposuit St.; idem post *ἡμερὲς* addit *δὲ*.

τοῦ κρίνου] U Sch.syll.; *τῶν κρίνων* Ald. Edd. — Antea *τοῖς* om. P.

ἐπ' ἀλλήλοις] corr. Sch.; *ἐπαλλήλοις* Ald. H.; *ἐπαλλήλως* St.

δύῃ συμμύει καὶ συγκ.] dedi cum St.; *συμμύει καὶ συγκ.* MV; *συμμύῃ καὶ συγκ.* U; *συμμύῃ, συγκ.* Ald. H.; *δύηται, συμμύει καὶ συγκ.* Schn.; *sole occidente se comprimunt caputque integunt* G.

καλύπτει τὴν κωδύαν, ἅμα δὲ τῇ ἀνατολῇ διοίγεται καὶ ὑπὲρ τοῦ ὕδατος γίνεται. τοῦτο δὲ ποιεῖ μέχρι ἂν ἡ κωδύα ἐκτελεωθῇ καὶ τὰ ἄνθη περιρρυῇ. τῆς δὲ κωδύας τὸ μέγεθος ἡλίκον μήκωνος τῆς μεγίστης καὶ διέζωσται ταῖς 10. κατατομαῖς τὸν αὐτὸν τρόπον τῇ μήκωνι· πλὴν πυκνότερος ἐν ταύταις ὁ καρπός. ἔστι δὲ παρόμοιος τῷ κέγχρῳ. ἐν δὲ τῷ Εὐφράτῃ τὴν κωδύαν φασὶ καὶ τὰ ἄνθη δύνειν καὶ ὑποκαταβαίνειν τῆς ὀψίας μέχρι μεσῶν νυκτῶν καὶ τῷ βάθει πόρρω· οὐδὲ γὰρ καθιέντα τὴν χεῖρα λαβεῖν εἶναι. μετὰ δὲ ταῦτα ὅταν ὄρθρος ᾖ πάλιν ἐπανιέναι καὶ πρὸς ἡμέραν ἔτι μᾶλλον, ἅμα τῷ ἡλίῳ φανερὸν ὂν ὑπὲρ τοῦ ὕδατος καὶ ἀνοίγειν τὸ ἄνθος, ἀνοιχθέντος δὲ ἔτι ἀναβαίνειν· συχνὸν δὲ τὸ ὑπεραῖρον εἶναι τὸ ὕδωρ. τὰς δὲ κωδύας ταύτας οἱ Αἰγύπτιοι συν- 11. θέντες εἰς τὸ αὐτὸ σήπουσιν· ἐπὰν δὲ σαπῇ τὸ κέλυφος ἐν τῷ ποταμῷ κλύζοντες ἐξαιροῦσι τὸν καρπὸν, ξηράναντες δὲ καὶ πτίσαντες ἄρτους ποιοῦσι καὶ τούτῳ χρῶνται σιτίῳ. ἡ δὲ ῥίζα τοῦ λωτοῦ καλεῖται μὲν κόρσιον, ἐστὶ δὲ στρογγύλη, τὸ μέγεθος ἡλίκον μῆλον κυδώνιον· φλοιὸς δὲ περίκειται περὶ αὐτὴν μέλας ἐμφερὴς τῷ καστανάικῷ καρύῳ· τὸ δὲ ἐντὸς λευκὸν, ἑψόμενον δὲ καὶ ὀπτώμενον γίνεται λεκιθῶδες, ἡδὺ δὲ ἐν τῇ προσφορᾷ· ἐσθίεται δὲ καὶ ὠμὴ, ἀρίστη δὲ ἐν τῷ ὕδατι ἑφθὴ καὶ ὀπτή. καὶ τὰ μὲν ἐν τοῖς ὕδασιν σχεδὸν ταῦτά ἐστιν. ἐν δὲ τοῖς ἀμμώδεσι χωρίοις, ἃ ἐστιν οὐ πόρρω τοῦ ποταμοῦ, 12. φύεται κατὰ γῆς ὃ καλεῖται μαλιναθάλλη, στρογγύλον τῷ σχήματι μέγεθος δὲ ἡλίκον μέσπιλον ἀπύρηνον δὲ ἄφλοιον· φύλλα δὲ ἀφίησιν ἀπ' αὐτοῦ ὅμοια κυ-

κωδύαν] UM Sch.; *κωδίαν* Ald. Edd.

μέχρι] UMV; *μέχρις* Ald. Edd.

κωδύα UMV Sch.; *κωδία* Ald. Edd.

ἐκτελεωθῇ] *ἐκτελεσθῇ* P.

10. *ἐν ταύταις*] *καὶ* anteposuit St.

τῷ κέγχρῳ] U Sch.; *τῇ κ.* Ald. Edd.

καὶ τὰ ἄνθη] P Bas. H. St. Sch.; *δὲ τὰ ἄ.* Ald. Cam.

τῆς ὀψιας] dedi de conj.; *vespera* Plin. 13, 18 s. 32; *τῆς ὥρας* UMVP2 Ald. Sch.; *τῆς ὥρας δειλινῆς* cum Dalec. H. St.

μέσων νυκτῶν] UMVP2 Ald. Sch.; *μεσοίννυκτων* H.; *μεσονυκτίου* St.

φανερὸν ὂν] Addidi *ὂν* e conjectura; alioquin structura laborat. Schneid. *γίνεσθαι* deesse putabat, ac post *ἅμα* inseruit *δέ* i. u.

τὸ ὑπεραῖρον εἶναι] *εἶναι τὸ ὑπεραῖρον* St.

11. *τὸ κέλυφος*] „Articulum addidit Heinsiana, nec dissentiunt Codices scripti" Schn. et St.; *τὸ* om. Ald.

πτίσαντες] UMV, de conj. Salmas. Exerc. p. 687; *pinsentesque* G.; *siccata tundunt* Plin.; *ὀπτήσαντες* Ald. Edd.

σιτίῳ] *ὡς σιτίῳ* iterum St.; *σίτῳ* tacite dedit Sch.

καστανάικῷ] mBas. H. St. Sch.; *κασανάικῷ* Ald.; *καναναικῷ* M.

ἑψ. δὲ καὶ] *ἑψ. δὲ ἢ καὶ* St.

ὀπτώμενον] PH. St. Sch.; *ὀπτόμενον* Ald.

λεκιθῶδες] UMVP Ald Bas. St. Sch.; *λεκυθῶδες* Cam. H.

ἐν τῇ π.] *ἐν* om. St.

ἐσθίεται—ὀπτὴ] sic Sch. de conj.; *ἐσθίεται δὲ καὶ ὠμόν· ἀρίστη δ' ἐν τοῖς ὕδασιν αὐτὴ ὠμή* Ald.; —*ἀρίστη δὲ καὶ τοῖς ὕδασιν αὐτὴν* UMV ac deinceps *ομη* U, *ὠμῆ* V, *ὠμὴ* M; *ἀρίστη δὲ ἐν τῷ ὕδατι* jam Heins. et St., qui deinceps *ἑφθὴ ἢ καὶ ὀπτή* scripsit. Emendationem suam duxit Schn. a Plinio. G.: *manditur etiam crudum. Sed gratius decoctum seu aqua seu pruna.* Ceterum lectionem a Sch. receptam veram non esse arguit articulus ante *ὕδατι* minime aptus. Reputanti literarum ductus in Urbinatis scriptura oblulit se conjectura, quam adponam, etsi non habeo unde confirmem: *ἀρίστη δὲ ἐν τῷ ὑρσινοήτῃ νόμῳ.*

12. *οὐ πόρρω*] Plin. 21, 15 s. 52 negationem non habet.

μαλιναθάλλη] Ald. Edd. G.; *μαλιναν· θάλλην* U; *anthalium* Plin. unde *ἀνθάλλιον* Salm. Homon. 199.

δὲ ἄφλοιον] *δὲ καὶ ἄφλοιον* Schn. cum Vo. et St.

πείρῳ· ταῦτα συνάγοντες οἱ κατὰ τὴν χώραν ἑψοῦσιν ἐν βρυτῷ τῷ ἀπὸ τῶν κριθῶν καὶ γίνεται γλυκέα σφόδρα· χρῶνται δὲ πάντες ὥσπερ τραγήμασι.
13. τοῖς δὲ βουσὶ καὶ τοῖς προβάτοις ἅπαντα μὲν τὰ φυόμενα ἐδώδιμά ἐστιν, ἓν δέ τι γένος ἐν ταῖς λίμναις καὶ τοῖς ἕλεσι φύεται διαφέρον δ καὶ χλωρὸν νέμονται καὶ ξηραίνοντες παρέχουσι κατὰ χειμῶνα τοῖς βουσὶν ὅταν ἐργάσωνται·
14. καὶ τὰ σώματα ἔχουσιν εὖ σίτου ἄλλο λαμβάνοντες οὐθέν. ἔστι δὲ καὶ ἄλλο παραφυόμενον αὐτόματον ἐν τῷ σίτῳ· τοῦτο δὲ ὅταν ὁ σῖτος ᾖ καθαρὸς ὑποπτήσαντες καταβάλλουσι τοῦ χειμῶνος ὑγρὰν εἰς γῆν· βλαστήσαντος δὲ τεμόντες καὶ ξηράναντες παρέχουσι καὶ τοῦτο βουσὶ καὶ ἵπποις καὶ τοῖς ὑποζυγίοις σὺν τῷ καρπῷ τῷ ἐπιγινομένῳ· ὁ δὲ καρπὸς μέγεθος μὲν ἡλίκον σήσαμον στρογγύλος δὲ καὶ τῷ χρώματι χλωρὸς, ἀγαθὸς δὲ διαφερόντως. ἐν Αἰγύπτῳ μὲν οὖν τὰ περιττὰ σχεδὸν ταῦτα ἄν τις λάβοι.

11. H. St. **Cap. IX.** Ἕκαστοι δὲ τῶν ποταμῶν ἐοίκασιν ἴδιόν τι φέρειν ὥσπερ καὶ τῶν χερσαίων. ἐπεὶ οὐδὲ ὁ τρίβολος ἐν ἅπασιν οὐδὲ πανταχοῦ φύεται ἀλλ' ἐν τοῖς ἑλώδεσι τῶν ποταμῶν· ἐν μεγίστῳ δὲ βάθει πενταπήχει ἢ μικρῷ μείζονι καθάπερ περὶ τὸν Στρυμόνα· σχεδὸν δὲ ἐν τοσούτῳ καὶ ὁ κάλαμος καὶ τὰ ἄλλα. ὑπερέχει δὲ οὐθὲν αὐτοῦ πλὴν αὐτὰ τὰ φύλλα ὥσπερ ἐπινέοντα καὶ κρύπτοντα τὸν τρίβολον, ὁ δὲ τρίβολος αὐτὸς ἐν τῷ ὕδατι νεύων εἰς βυθόν. τὸ δὲ φύλλον
2. ἐστὶ πλατὺ προσεμφερὲς τῷ τῆς πτελέας, μίσχον δὲ ἔχει σφόδρα μακρόν· ὁ δὲ καυλὸς ἐξ ἄκρου παχύτατος ὅθεν τὰ φύλλα καὶ ὁ καρπὸς, τὰ δὲ κάτω λεπτότερος ἀεὶ μέχρι τῆς ῥίζης· ἔχει δὲ ἀποπεφυκότα ἀπ' αὐτοῦ τριχώδη τὰ μὲν πλεῖστα παράλληλα τὰ δὲ καὶ παραλλάττοντα, κάτωθεν ἀπὸ τῆς ῥίζης μεγάλα τὰ δὲ ἄνω ἀεὶ ἐλάττω προϊοῦσιν, ὥστε τὰ τελευταῖα μικρὰ πάμπαν εἶναι καὶ

ἑψοῦσιν] ὑψοῦσιν P.
ταῦτα — γλυκέα] τοῦτο — γλυκὺ St.
13. ξηραίνοντες] ξηραίροντες H. St.
εὖ σίτου ἄλλο] dedi de conj.; εὐσιτοῦντα Ald. Edd., quod neque structura aptum neque significatione. Sch. post οὐθὲν add. ἄλλο i. u.
14. ὑποπτήσαντες] Ald. H. St.; ὑποπτίσαντες Sch. e vers. G. *leviter pinsentes*; ὑποβρέξαντες conj. Bod., quod probat Spreng.; ὑποπτίσσαντες St. Si fas esset mutare ἀπολοπίσαντες scriberem.
ὑγρὰν εἰς γῆν] sic correxi; ὑγρὰν τὴν γῆν Ald. Edd., ubi articulus et omnino otiosus, et quo loco positus est minime aptus. Neque si pro ὑποπτήσαντες scriberes ὑπαρώσαντες vel ὑπορύξαντες — ejusmodi enim verbum requirit Sch. — posset εἰς abesse. ὑγρὸν εἰς τὴν γῆν dedit St. Fortasse plura sunt in vitio, et pro καθαρὸς reponendum ἁδρός. Ceterum καταλλουσι U.
βλαστήσαντος] βλαστήσαντες P.
τῷ ἐπιγινομένῳ] UMV Ald. St. Sch.; τοῦ ἐπιγινομένου H.
τὰ περιττὰ] UMV Sch.; *supervacua* G.; τὰ πάντα Ald. H. St.

Cap. IX.

χερσαίων] τόπων i. u. add. Sch.
ἐν μεγίστῳ δὲ βάθει] οὐκ ἐν μεγίστῳ βάθει, ἢ St.
καθάπερ] corr. Sch.; καθὰ οἱ Ald. Edd.
Στρυμόνα] Sch.; στρύμωνα Ald. Edd.; Στρυμῶνα U.
ἐπινέοντα] Ald. Edd.; ἐπιναίοντα U; *inflexa* G., qui ἐπινεύοντα habuisse videtur.
νεύων] U; νεύον M; νεύει Ald. Edd.
τῷ τῆς πτ.] τῆς om. MP.
2. παχύτατος] corr. H. St. Sch. e Dioscor. 4, 15 καυλὸς δὲ ἐξ ἄκρου παχύς; *crassiori* G.; βαθύτατος UMV Ald.; ἐξ ἄκρου om M1.
ὅθεν] οὐθὲν M1.
ῥίζης. ἔχει δὲ ἀποπ.] Ald. H. St. Cum G., ubi haec conjuncta continuantur, conjunxit etiam expulso δὲ Sch.: ῥίζης ἔχει ἀποπ. — Post τριχώδη addit τινα i. u. St.
κάτωθεν] μὲν adjecit Sch., quod nescio an poni necesse sit.
προϊοῦσιν] *procedunt* G., videtur igitur προϊᾶσι habuisse.
πάμπαν] πάντα V.

τὴν διαφορὰν μεγάλην τὴν ἀπὸ τῆς ῥίζης πρὸς τὸν καρπόν. ἔχει δὲ ἐκ τοῦ ἑνὸς καυλοῦ καὶ παραβλαστήματα πλείω· καὶ γὰρ τρία καὶ τέτταρα, μέγιστον δ' αἰεὶ τὸ πλησιαίτερον τῆς ῥίζης, εἶτα τὸ μετὰ τοῦτο καὶ τὰ ἄλλα κατὰ λόγον. τὸ δὲ παραβλάστημά ἐστιν ὥσπερ καυλὸς ἄλλος λεπτότερος μὲν τοῦ πρώτου τὰ δὲ φύλλα καὶ τὸν καρπὸν ἔχων ὁμοίως. ὁ δὲ καρπὸς μέλας καὶ σκληρὸς σφόδρα. ῥίζαν δὲ ἡλίκην καὶ ποίαν ἔχει σκεπτέον. ἡ μὲν οὖν φύσις τοιαύτη. φύεται μὲν ἀπὸ τοῦ καρποῦ τοῦ πίπτοντος καὶ ἀφίησι βλαστὸν τοῦ ἦρος· φασὶ 3.
δὲ οἱ μὲν εἶναι ἐπέτειον οἱ δὲ διαμένειν τὴν μὲν ῥίζαν εἰς χρόνον ἐξ ἧς καὶ τὴν βλάστησιν εἶναι τοῦ καυλοῦ. τοῦτο μὲν οὖν σκεπτέον. ἴδιον δὲ παρὰ τἆλλα τὸ τῶν παραφυομένων ἐκ τοῦ καυλοῦ τριχωδῶν· οὔτε γὰρ φύλλα ταῦτα οὔτε καυλός· ἐπεὶ τό γε τῆς παραβλαστήσεως κοινὸν καλάμου καὶ ἄλλων.

Cap. X. Τὰ μὲν οὖν ἴδια θεωρητέον ἰδίως δῆλον ὅτι τὰ δὲ κοινῶς. διαιρεῖν δὲ χρὴ καὶ ταῦτα κατὰ τοὺς τόπους, οἷον εἰ τὰ μὲν ἕλεια τὰ δὲ λιμναῖα τὰ δὲ ποτάμια μᾶλλον ἢ καὶ κοινὰ πάντων τῶν τόπων· διαιρεῖν δὲ καὶ ποῖα ταὐτὰ ἐν τῷ ὑγρῷ καὶ τῷ ξηρῷ φύεται, καὶ ποῖα ἐν τῷ ὑγρῷ μόνον, ὡς ἁπλῶς εἰπεῖν πρὸς τὰ κοινότατα εἰρημένα πρότερον. ἐν δ' οὖν τῇ λίμνῃ τῇ περὶ Ὀρχομενὸν τάδ' ἐστὶ τὰ φυόμενα δένδρα καὶ ὑλήματα, ἰτέα ἐλαίαγνος σίδη κάλαμος

ἀπὸ τῆς ῥ.] St. om. *ἀπὸ* et pro *καρπὸν* scribit *καυλὸν*, quod G. habuit.

ἔχει δὲ ἐκ τοῦ ἑνὸς καυλοῦ] U Sch.syll.; om. cett. Schn. in Auctar. p. 35 *καρποῦ* pro *καυλοῦ* scripsit lapsu calami.

πλησιαίτερον] U Sch.; *πλησιαίστερον* MV; *πλησιέστερον* Ald. Edd. — *αἰεὶ* dedi cum M V; *ἀεὶ* Ald. Edd.

τὸ μετὰ] UMV Sch.; *τὰ μετὰ* Ald. H. St.

3. *φύεται μὲν*] UMV Sch.; *φύεται μέντοι* Ald. Edd.

τοῦ πίπτ.] U, Sch.syll.; *τοῦ* om. Ald. Edd. o.

τήν μὲν ῥίζαν] E commentario colligere licet Schneiderum voluisse *τήν γε ῥίζαν* scribere.

παρὰ τἆλλα τὸ] U, Sch.syll.; *παρὰ τῶν ἄλλων* Ald. H. St.; *παρὰ τὰ τῶν ἄλλων* Sch.cont.

καὶ ἄλλων] U, Sch. e conj.; *aliisque* G.; *καὶ ἄλλου* Ald. Edd.

Cap. X.

τὰ δὲ κοινῶς] Ald. H.; *τὰ δὲ ἄλλα κοινῶς* St.; *τὰ δὲ κοινὰ κοινῶς* Sch.

καὶ ταῦτα κατὰ τοὺς τόπους] U Sch.syll.; *κατὰ τοὺς τόπους* V; *καὶ κατὰ τόπους* Ald. H. St.; *κατὰ τόπους* M; *καὶ κατὰ τοὺς τόπους* Sch.cont.

διαιρεῖν δὲ καὶ] UMVP Sch.; *καὶ* om. Ald. Edd.

ταὐτὰ] corr. Sch.; *ταῦτα* Ald. Edd. Dein ante *τῷ ξηρῷ* addidit *ποῖα* St.

μόνον, ὡς ἁπλῶς] UMV; *μόνον· ὡς δ' ἁπλῶς* Ald. Edd. o.

πρὸς τὰ κοινότατα εἰρημένα πρ.] sic correxi; *κοινότατα προειρημένα πρότερον* Ald. H. et addito ab initio *τὰ* St.; *πρὸς τὰ εἰρημένα πρότερον· κοινότατα* [*διαιρεῖν*] Sch. cont., in Syll. ultimam vocem sustulit; *ad ea quae volumine primo exposuimus maxime communiter digerendum est* G., qui potius *κοινότατα πρὸς τὰ εἰρημένα πρότερον* scriptum legit.

ἐν δ' οὖν] *δ'* habent UMVP Sch.syll., omitt. Ald. Edd. o.

τάδ' ἐστὶ τὰ] H. St. Sch.; *τόδ' ἐστὶ· τὰ* UMV Ald.

ἐλαίαγνος] Ald. H.; *ἐλειάγνος* St.; *ἐλειαγνος* hic et deinde ter scripsit Sch. sed in Syllabo veterem scripturam restituit; *ἐλαία λάγνος* MVP; *ἐλαια ἀγνος* U; *oleagnusque oleae amerinaeque speciem profert* G. ubi verba sic distinguenda *oleagnus, quae oleae* etc. et haec tanquam interpretamentum addita esse censeo. *ἐλαία ἄγνος* m Bas. Hesych.: *ἐλέαγνος φυτὸν θαμνῶδες.*

δ τε αὐλητικὸς καὶ ὁ ἕτερος κύπειρον φλεὼς τύφη, ἔτι γε μήνανθος ἴχμη καὶ τὸ καλούμενον ἴπνον. δ γὰρ προσαγορεύουσι λέμνα τοῦτο πλείω τὸ καθ' ὕδα-
2. τός ἐστι. τούτων δὲ τὰ μὲν ἄλλα γνώριμα· ὁ δ' ἐλαίαγνος καὶ ἡ σίδη καὶ ἡ μήνανθος καὶ ἡ ἴχμη καὶ τὸ ἴπνον ἴσως μὲν φύεται καὶ ἑτέρωθι προσαγορεύεται δὲ ἄλλοις ὀνόμασι· λεκτέον δὲ περὶ αὐτῶν. ἔστι δὲ ὁ μὲν ἐλαίαγνος φύσει μὲν θαμνῶδες καὶ παρόμοιον τοῖς ἄγνοις, φύλλον δὲ ἔχει τῷ μὲν σχήματι παραπλήσιον μαλακὸν δὲ ὥσπερ αἱ μηλέαι καὶ χνοώδες. ἄνθος δὲ τῷ τῆς λεύκης ὅμοιον ἔλαττον· καρπὸν δὲ οὐδένα φέρει. φύεται δὲ ὁ πλεῖστος μὲν ἐπὶ τῶν πλοάδων νήσων· εἰσὶ γάρ τινες καὶ ἐνταῦθα πλοάδες ὥσπερ ἐν Αἰ-
γύπτῳ περὶ τὰ ἕλη καὶ ἐν Θεσπρωτίδι καὶ ἐν ἄλλαις λίμναις· ἐλάττων δὲ καθ'
3. ὕδατος· ὁ μὲν οὖν ἐλαίαγνος τοιοῦτον. ἡ δὲ σίδη τὴν μὲν μορφὴν ἐστιν ὁμοία τῇ μήκωνι· καὶ γὰρ τὸ ἄνω κυτινῶδες τοιοῦτον ἔχει πλὴν μεῖζον ὡς κατὰ λόγον· μεγέθει δὲ ὅλος ὁ ὄγκος ἡλίκον μῆλον· ἔστι δὲ οὐ γυμνὸν ἀλλὰ ὑμένες περὶ αὐτὴν λευκοί, καὶ ἐπὶ τούτοις ἔξωθεν φύλλα ποώδη παραπλήσια τοῖς τῶν ῥόδων ὅταν ἐν κάλυξιν ὦσι, τέτταρα τὸν ἀριθμόν· ἀνοιχθεῖσα δὲ τοὺς κόκκους ἐρυθροὺς μὲν ἔχει τῷ σχήματι δὲ οὐχ ὁμοίους ταῖς ῥόαις ἀλλὰ περιφερεῖς

κύπειρον] UMVP Sch.syll.; *κύπειρος* Ald. H. St. Alibi ut 1, 8, 1 et 1, 10, 5 *κύπειρος* habet Ald. ubi e Codd. nulla varietas affertur. Utroque sexu in usu fuisse videtur.

φλεὼς] Schn.; *φλεὼ* U Ald.; *φλεῶ* V; *φλειὼ* St. *φλεὼς* est Arist. H. An. 10, 27. ed. Bekk.

τύφη] St. Sch.; *τύφῃ* Cam. H.; *τίφη* UMV Ald.

ἔτι γε μήνανθος] U Sch.syll.; *ἔτι γε μὴν ἄνθος* MV; *ἔτι γε μὴν μίνανθος* Ald. et, praeter ipsum plantae nomen, Edd. Hoc enim *μήνανθος* H.; *μηνύανθος* St.; *μενύανθος* Sch.; *μινύανθος* unum probat Salmas. Ex. p. 172; *mensifloram* G.

ἴχμη] U, Sch. e vers. G. *icma*; *ἰήμι* MV; om. Ald. Edd.

λέμνα] *λέμναν* St.; *λέμμα* vult Dalecamp. H. pl. 1014.

τοῦτο πλείω τὸ καθ' ὑδ.] UM; *τ. πλεῖον τὸ κ. ὑ.* Ald.; *τοῦτο τὸ πλέον καθ' ὑ.* Sch.; *τούτου τὰ πλείω καθ' ὑ.* idem in Syll. G.: *Quod enim lemma vocatur, altius mergitur in aqua*, quem Schneiderus *τοῦτο τὸ πλέον* legisse et a *πλέω*, nato, deduxisse ratus errat. Etenim in versione Gazae *altius* voci *πλεῖον* et *mergitur* v. *κατὰ* respondet.

2. *ὁ δ' ἐλαίαγνος*] Sch.syll.; *ἡ δ' ἐλαίαγνος* Ald. Edd.; *ἐλαια αγνος* U; *ἡ δὲ ἐλαία ὁ ἄγνος* P; *ἡ δ' ἐλαίαγνος* Sch.cont.

μήνανθος] UMV H. Sch.syll.; *μηνύανθος* St.; *μενύανθος* Sch.cont.; *μίνανθος* Ald.

ἴχμη] P H. St. Sch.; *icma* G.; *ἰχάμη* Ald.

μὲν φύ.] U Ald. Edd.; *φύ. μὲν* V Sch.

ὁ μὲν ἐλ.] UV Sch.syll.; *ὁ μὲν ἑλ.* M; *ἡ μὲν ἐλ.* Ald. Edd.

φύσει μὲν θαμν.] U, Sch. e conj.; *φύει μὲν θαμν.* MV; *natura fruticosa* G.; *φυτὸν θαμν.* Ald. Edd.

τοῖς ἄγνοις] mBas. Sch.; *nec ceteris amerinis absimilis* G.; *τοῖς ἄλλοις* Ald. H.; *τῷ ἄγνῳ* St.

παραπλήσιον] *τούτῳ* add. i. u. St. Mox idem *τὰ τῆς μηλέας*.

καὶ χνοῶδες· ἄνθος δὲ] Ald. H.; *ἄνθος δὲ χνοῶδες· καρπὸν δὲ οὐδένα* verbis septem omissis St.; *καὶ τὸ ἄνθος δὲ χνοῶδες, τῷ τῆς λ. ὁ* Sch.

ἔλαττον· καρπὸν δὲ οὐδ.] M Ald. Edd.; *ἔλαττον δὲ· καρπὸν οὐδ.* V; *ἔλαττον δὲ· καρπὸν δὲ οὐδ.* Sch.

ἐλάττων δὲ καθ' ὕδατος] *sed illae minus aqua implentur* G. e scriptura diversa.

ὁ μὲν οὖν ἐλ.] UMV Sch.syll.; *ἡ μὲν οὖν ἐλ.* Ald. Cam.; *ἡ μὲν οὖν ἑλ.* Bas. H. St.

3 *τῇ μήκωνι*] Hoc in suspicionem trahit H. Mercurialis Var. Lect. 2, 4, nec immerito. Athenae. 14 p. 651 ex Theophrasto haec habet: *λέγεται δέ τι καὶ φυτὸν σίδη ὅμοιον ῥοιᾷ* etc. Certe quod sequitur *τὸ κυτινῶδες* punicae magis quam papaveri convenit.

κυτινῶδες] UMV Ald. Sch.syll.; *κωδιῶδες* H. St. Sch.cont. Ceterum *κατὰ γὰρ τ. α.* St.

τοῖς τῶν ῥόδων] *ῥοῶν* commendavit Bod. propter *κυτινῶδες* praemissum; *ῥόων* St.

ὁμοίους] Ald. Edd.; *ὁμοίως* UMV.

ταῖς ῥόαις] de conj. Bodaei Sch., sumta e Schol. Nicandri Ther. v. 887 *ἡ δὲ σίδη φυτόν ἐστιν ὃ κατὰ Θεόφραστον ἐν Ὀρχο-*

μικροὺς δὲ καὶ οὐ πολλῷ μείζους κέγχρου· τὸν δὲ χυλὸν ὑδατώδη τινὰ καθάπερ ὁ τῶν πυρῶν. ἀδρύνεται δὲ τοῦ θέρους, μίσχον δὲ ἔχει μακρόν. τὸ δὲ ἄνθος ὅμοιον ῥόδου κάλυκι μεῖζον δὲ καὶ σχεδὸν διπλάσιον τῷ μεγέθει. τοῦτο μὲν οὖν καὶ τὸ φύλλον ἐπὶ τοῦ ὕδατος· μετὰ δὲ ταῦτα ὅταν ἀπανθήσῃ καὶ συστῇ τὸ κατακάρπιον κατακλίνεσθαί φασιν εἰς τὸ ὕδωρ μᾶλλον, τέλος δὲ συνάπτειν τῇ γῇ καὶ τὸν καρπὸν ἐκχεῖν. καρποφορεῖν δὲ τῶν ἐν τῇ λίμνῃ τοῦτο 4
καὶ τὸ βούτομον καὶ τὸν φλεών. εἶναι δὲ τοῦ βουτόμου μέλανα τῷ δὲ μεγέθει παραπλήσιον τῷ τῆς σίδης. τοῦ δὲ φλεὼ τὴν καλουμένην ἀνθήλην, ᾧ χρῶνται πρὸς τὰς κονίας· τοῦτο δ' ἐστὶν οἷον πλακουντῶδές τι μαλακὸν ἐπίπυρρον. ἔτι δὲ καὶ τοῦ φλεὼ καὶ τοῦ βουτόμου τὸ μὲν θῆλυ ἄκαρπον, χρήσιμον δὲ πρὸς τὰ πλόκανα, τὸ δὲ ἄρρεν ἀχρεῖον. περὶ δὲ τῆς ἴκμης καὶ μηνάνθους καὶ τοῦ ἴπνου σκεπτέον. ἰδιώτατον δὲ τούτων ἐστὶν ἡ τύφη καὶ τῷ ἄφυλλον εἶναι καὶ 5.
τῷ μὴ πολύρριζον τοῖς ἄλλοις ὁμοίως· ἐπεὶ τἆλλα οὐχ ἧττον εἰς τὰ κάτω τὴν ὁρμὴν ἔχει καὶ τὴν δύναμιν· μάλιστα δὲ τὸ κύπειρον ὥσπερ καὶ ἡ ἄγρωστις διὸ καὶ δυσώλεθρα καὶ ταῦτα καὶ ὅλως ἅπαν τὸ γένος τὸ τοιοῦτον. ἡ δὲ ῥίζα

μενῷ φύεται ἐν ὕδατι ῥίζα ὃν τηλίκον δὲ ἡλίκον μήκων· ἔχει δὲ κόκκους ἐρυθροὺς ὁμοίους ῥοιᾶς στρογγυλοτέρους δέ; τοῖς τῶν ῥόων St.; *ταῖς ῥίζαις* UMV Ald. H.; *ταῖς ῥυάδεσι* vel *ῥυάδεσι* conj. Scalig.; etenim G.: *figura non modo papaveris.* Equidem suspicor *τοῖς κνιδίοις* scriptum fuisse. Haec semina usu medico trita ac in vulgus nota erant, atque nomine *κόκκοι* vel solo significabantur; cf. Galen. Lex. H. s. *κόκκωνα.*

κέγχρου] mBas. H. St. Sch.; *κέγχου* U; *κάγχρου* Ald.

τῶν πυρῶν] *τῶν ῥόων* Bod. St.

μακρὸν] U; *μικρὸν* Ald. Edd. o.

ῥόδου καλ.] *ῥόου καλ.* St. Ceterum ex hac inopportune repetita floris descriptione vides locum minime integrum, sed interpolatum aut conturbatum saltem esse.

τοῦτο μὲν οὖν] UM Sch. et Scalig. de conj.; *τούτου μ. ο.* Ald. Edd. — Post *μεῖζον δὲ* add. *καρπόν* i. u. St.

κατακάρπιον] Suspicor *περικάρπιον* scriptum fuisse.

κατακλίνεσθαι] *κατακλίνασθαι* M.

συνάπτειν τῇ γῇ] U Sch.; *σ. ἐπὶ τῇ γῇ* Ald. Edd.; *terram attingere* G.

4. *λίμνῃ τοῦτο*] sic Ald.; *λίμνῃ τρία, τοῦτο μὲν* mBas. Schn. versionem Gazae secuti. *καρποφορεῖ — ὁ βούτομος* St.

τὸν φλεών] Sch. cum Schol. ad Aristoph. Ran. 244; *τὸ φλεὼς* Ald. Edd. Cf. Lobeck ad Phryn. 294.

μέλανα] Edd. post H.; *μέλαινα* M Ald.; *καρπὸν μέλανα* St.

τῷ τ. σ.] corr. Sch.; *τοῦ τ. σ.* Ald. Edd. *φλεὼ*] corr. Sch.; *φλεὼς* Ald. Edd.

ἀνθήλην] P mBas. H. St. Sch.; *anthelam* G.; *ἀνθῆνην* Ald. Post haec verba lacunae signum posuit Schn. At poteris *εἶναι τὸν καρπὸν* repetere: *phlei vero fructum esse quam vocant anthelam.*

πρὸς τὰς κονίας] Ald. H.; *τὰς* om. Sch.; *ᾗ — κονιάσεις* St.; *quo ad lixivium utuntur* G.; *κονιάσεις* probat etiam Spr.: *deren man sich zum Tünchpinsel bedient.*

πλακοῦντῶδες] e vers. Gazae *placentaceum* H. St. Sch., idque de fructu dici posse comprobavit Sch.; *πλακαντῶδες* UMV Ald. Vox est vitiosa.

ἐπίπυρρον] UM Sch.syll.; *ἐπίπυρον* Ald. Edd.; *rubidum* G.

φλεὼ] corr. Sch.; *φλεὼς* U Ald.

πλόκανα] UMV Ald. Sch.; *ad nexus utilis* G.; *πλόκαμα* mBas. H. St. Veterem scripturam defendit Sch.

καὶ μηνάνθους] U; *καὶ μηνάνθου* MV; *καὶ τοῦ μινάνθους* P; *καὶ τοῦ μηνάνθους* Sch. in Syll. H.; *καὶ τοῦ μηντάνθους* Ald.; *καὶ τοῦ μηνυάνθους* Sch.cont.; *mensiflorum* G.

5. *δὲ τούτ.*] *τὸ τούτ.* Cam.

τύφη] UM St. Sch.; *τύφη* Ald. H.

καὶ τῷ ἄφ.] UMV H. St. Sch.; *καὶ τὸ ἄφ.* Ald. — Pro *ἄφυλλον* cum Dalec. malebant *ἀφύλλανθες* Saracen. ad Dioscor. 3, 133 p. 71 et Bod. Nam Dioscor. l. l. *typhae* tribuit folia.

ἐπεὶ τἆλλα] *ἐ. τἄλλα* Ald.; *ἐπειτα τἆλλα* U. — Dein *ἔχειν* UMVP; *ὁ κύπειρος* St.

ὅλως] *ὅλον* H.

τοῦ κυπείρου πολύ τι τῶν ἄλλων παραλλάττει τῇ ἀνωμαλίᾳ, τῷ τὸ μὲν εἶναι παχύ τι καὶ σαρκῶδες αὐτῆς τὸ δὲ λεπτὸν καὶ ξυλῶδες· καὶ τῇ βλαστήσει καὶ τῇ γενέσει· φύεται γὰρ ἀπὸ τοῦ πρεμνώδους ἑτέρα λεπτὴ κατὰ πλάγιον, εἶτ' ἐν ταύτῃ συνίσταται πάλιν τὸ σαρκῶδες ἐν ᾧ καὶ ὁ βλαστὸς ἀφ' οὗ ὁ καυλός· ἀφίησι δὲ καὶ εἰς βάθος τὸν αὐτὸν τρόπον ῥίζας δι' ὃ καὶ πάντων μάλιστα δυς-
6. ώλεθρον καὶ ἔργον ἐξελεῖν. σχεδὸν δὲ παραπλησίως φύεται ἡ ἄγρωστις ἐκ τῶν γονάτων· αἱ γὰρ ῥίζαι γονατώδεις, ἐξ ἑκάστου δ' ἀφίησιν ἄνω βλαστὸν καὶ κάτωθεν ῥίζαν. ὡσαύτως δὲ καὶ ἡ ἄκανθα κεάνωνος, ἀλλ' οὐ καλαμώδης οὐδὲ γονατώδης ἡ ῥίζα ταύτης. ταῦτα μὲν οὖν ἐπὶ πλεῖον διὰ τὴν ὁμοιότητα εἴρηται. φύεται δ' ἐν ἀμφοῖν καὶ ἐν τῇ γῇ καὶ ἐν τῷ ὕδατι ἰτέα κάλαμος, πλὴν τοῦ αὐλητικοῦ, κύπειρον τύφη φλεὼς βούτομος· ἐν δὲ τῷ ὕδατι μόνον σίδη. περὶ γὰρ τῆς τύφης ἀμφισβητοῦσι. καλλίω δὲ καὶ μείζω τῶν ἐν ἀμφοῖν φυομένων αἰεὶ τὰ ἐν τῷ ὕδατι γίνεσθαί φασι. φύεσθαι δ' ἔνια τούτων καὶ ἐπὶ τῶν πλοάδων, οἷον τὸ κύπειρον καὶ τὸ βούτομον καὶ τὸν φλεὼν ὥστε πάντα τὰ μέρη
7. ταῦτα κατέχειν. ἐδώδιμα δ' ἐστὶ τῶν ἐν τῇ λίμνῃ τάδε· ἡ μὲν σίδη καὶ αὐτὴ καὶ τὰ φύλλα τοῖς προβάτοις ὁ δὲ βλαστὸς τοῖς ὑσὶν ὁ δὲ καρπὸς τοῖς ἀνθρώποις. τοῦ δὲ φλεὼ καὶ τῆς τύφης καὶ τοῦ βουτόμου τὸ πρὸς ταῖς ῥίζαις ἁπαλὸν ὃ μάλιστα ἐσθίει τὰ παιδία. ῥίζα δ' ἐδώδιμος ἡ τοῦ φλεὼ μόνη τοῖς βοσκήμασιν. ὅταν δ' αὐχμὸς ᾖ καὶ μὴ γένηται τὸ κατὰ κεφαλῆς ὕδωρ ἅπαντα αὐχμεῖ τὰ ἐν τῇ λίμνῃ, μάλιστα δὲ ὁ κάλαμος ὑπὲρ οὗ καὶ λοιπὸν εἰπεῖν· ὑπὲρ γὰρ τῶν ἄλλων σχεδὸν εἴρηται.

12 H. St. Cap. XI. Τοῦ δὴ καλάμου δύο φασὶν εἶναι γένη, τόν τε αὐλητικὸν καὶ τὸν ἕτερον· ἓν γὰρ εἶναι τὸ γένος τοῦ ἑτέρου, διαφέρειν δὲ ἀλλήλων ἰσχύϊ καὶ πα-

παραλλάττει] Ald. Edd. o.; *παραλλαγη* U; *παραλλαγει* M.

τοῦ πρεμνώδους] i. e. *e rhizomate*; *τῆς πρ.* [*ῥίζης*] St.

ἐν ᾧ — καυλὸς] Verborum ordinem mutavi, quod fieri debere vidit Sch. sed non fecit. Ut enim in Ald. Edd. habentur *ἀφ' οὗ ὁ καυλὸς ἐν ᾧ καὶ ὁ βλαστός*, plane perversa sunt. — *τι σαρκῶδες — ἐν ᾧ δὲ καὶ* etc. St.

ἔργον] *ἐστὶν* add. St.

6. *ἀφίησιν ἄνω βλαστὸν*] Bod.; *ἄνω ἀφίησιν βλαστὸν* Sch.; *ἀφίησιν ἀνάβλαστον* U MV Ald.; *ἀφ. ἀνὰ βλαστὸν* P; *ἀφίησιν ἀνάβλαστον καὶ καθάπερ* H.; *ἑκάστης δὲ ἀφίησιν ἀνὼ βλαστὸν κατώθεν ὁ.* St.

ἄκανθα κεάνωνος] UMV sine accentu; *ἄκ. κεάνωθος* Ald.; *ἄκ. ἡ κεάνωθος* H. St. Sch.; *pari modo et spina quae appellatur germinat* G.

ἐπὶ πλεῖον — εἴρηται] U Sch.syll.; *ταῦτα μὲν οὖν διὰ τ. ὁ. πλείω εἴρηται* Ald. Edd. o.; *haec prolixius. placuit explicari* G.

πλὴν τοῦ αὐλητικοῦ] U, Sch. de conj.; *τὴν τοῦ αὐλητικοῦ* MV; *ὁ αὐλητικός* Ald. H. St.

κύπειρον] UMV Ald. H.; *κύπειρος* St. Sch.

τύφη] H. St. Sch.; *τίφη* UMV Ald.

τύφης] H. St. Sch.; *τίφης* Ald.

αἰεὶ] *ἀεὶ* St.

τὸ κύπειρον] UMV Ald. H. Sch.syll.; *ὁ κύπειρος* St.; *τὸν κύπειρον* Sch.cont.

τὸ βούτομον] Ald. H.; *τὸν βουτόμον* Sch.; *ὁ βούτομος* St.

τὸν φλεὼν] Cf. § 4; *τὸν φλεὼ* Sch.; *τὸ φλεὼς* Ald. Edd.

πάντα] Ald. Edd.; *πάντως* MV.

7. *λίμνῃ*] *ᾗ* deest in Ald.

αὐτὴ καὶ τὰ φ.] *αὐτῆς τὰ φύλλα* St.

τύφης] H. St. Sch.; *τίφης* M Ald.

κατὰ κεφαλῆς ὕδωρ] dedi de conj. Cf. C. pl. 6, 18, 10, etsi M ibi quoque accusativum dat; *κατὰ κεφαλὴν ὕδωρ* e corr. Scal. H. St. Sch.; *κατὰ κεφαλὴν ὕλην* UMV Ald.; *nec humor qui perlueret cacumina incessit* G.

Cap. XI.

ἓν γὰρ — γένος] *καὶ γένη φασὶν εἶναι* St.

ἰσχύϊ καὶ παχύτητι] Verba *καὶ παχύτητι*, quae propter sensum necessaria sunt, sed

χύτητι καὶ λεπτότητι καὶ ἀσθενείᾳ· καλοῦσι δὲ τὸν μὲν ἰσχυρὸν καὶ παχὺν χαρακίαν τὸν δ' ἕτερον πλόκιμον· καὶ φύεσθαι τὸν μὲν πλόκιμον ἐπὶ τῶν πλοάδων τὸν δὲ χαρακίαν ἐπὶ τοῖς κώμυσι· κώμυθας δὲ καλοῦσι οὗ ἂν ᾖ συνηθροισμένος κάλαμος καὶ συμπεπλεγμένος ταῖς ῥίζαις· τοῦτο δὲ γίνεται καθ' οὓς ἂν τόπους τῆς λίμνης εὔγειον ᾖ χωρίον· γίνεσθαι δέ ποτε τὸν χαρακίαν καὶ οὐ ὁ αὐλητικὸς, μακρότερον μὲν τοῦ ἄλλου χαρακίου σκωληκόβρωτον δέ. τούτου μὲν οὖν ταύτας λέγουσι τὰς διαφοράς. περὶ δὲ τοῦ αὐλητικοῦ τὸ μὲν φύεσθαι δι' ἐννεατηρίδος ὥσπερ τινές φασι καὶ ταύτην εἶναι τὴν τάξιν οὐκ ἀληθὲς, ἀλλὰ τὸ μὲν ὅλον αὐξηθείσης γίνεται τῆς λίμνης· ὅτι δὲ τοῦτ' ἐδόκει συμβαίνειν ἐν τοῖς πρότερον χρόνοις μάλιστα δι' ἐννεατηρίδος, καὶ τὴν γένεσιν τοῦ καλάμου ταύτην ἐποίουν τὸ συμβεβηκὸς ὡς τάξιν λαμβάνοντες. γίνεται δὲ ὅταν ἐπομβρίας γενομένης ἐμμένῃ τὸ ὕδωρ δύ' ἔτη τοὐλάχιστον, ἂν δὲ πλείω καὶ καλλίων· τούτου δὲ μάλιστα μνημονεύουσι γεγονότος τῶν ὕστερον χρόνων ὅτε συνέβη τὰ περὶ Χαιρώνειαν· πρὸ τούτων γὰρ ἔφασαν ἔτη πλείω βαθυνθῆναι τὴν λίμνην· μετὰ δὲ ταῦτα ὕστερον ὡς ὁ λοιμὸς ἐγένετο σφοδρὸς πλησθῆναι μὲν αὐτὴν, οὐ μείναντος δὲ τοῦ ὕδατος ἀλλ' ἐκλιπόντος χειμῶνος οὐ γενέσθαι τὸν κάλαμον· φασὶ γὰρ καὶ δοκεῖ βαθυνομένης τῆς λίμνης αὐξάνεσθαι τὸν κάλαμον εἰς μῆκος, μείναντα δὲ τὸν ἐπιόντα ἐνιαυτὸν ἀδρύνεσθαι· καὶ γίνεσθαι τὸν μὲν ἀδρυθέντα ζευγίτην, ᾧ δ' ἂν μὴ συμπαραμείνῃ τὸ ὕδωρ βομβυκίαν. 2. 3.

ab Ald. H. absunt, addidi auctore Dalec. cum G. St. et Sch. sed alio loco. St. et Sch.: *ἰσχύϊ καὶ ἀσθενείᾳ καὶ παχύτητι καὶ λεπτότητι*. Ordinem cum secutus sum, quem G. habet, et sequentia postulant.

πλόκιμον] Plinium *πλωτίαν* scriptum legisse animadvertit Sch.

καὶ φύεσθαι τὸν μὲν] U Sch.syll.; *φύεσθαι τὸν μὲν* MP; *φύεσθαι δὲ τὸν μὲν* Ald. Edd.

κάλαμος] *ὁ* praeposuere St. Sch.

ὁ αὐλητικός] U St. Sch; *ὁ* om. Ald. H.

μακρότερον μὲν] *μακρ. τὴν* Bod. ex err.; *μακρ. τὸν μὲν* St.

τούτου] *τούτων* St.

2. *τὸ μὲν φύεσθαι*] corr. St. Sch.; *τὸν μὲν φ.* UV Ald. H.

ἐννεατηρίδος] M Sch.; *ἐννετηρίδος* UV; *ἐνναετηρίδος* hic et mox Ald. Edd. — Mox *ἐννετηρίδος* UMV.

οὐκ ἀληθὲς] Ald. Sch.; *οὐκ αληθε* U; *οὐκ ἄληθες* MV; *οὐκ ἀληθὲς δὲ* H. St.

τοῦτ' ἐδόκει] cum RConst. Sch.; *τοῦτο δοκεῖ* Ald. H. St.

λαμβάνοντες] *λαμβάνοντος* U.

3. *ἐμμένῃ*] U Sch.syll.; *διεμμένῃ* Ald. Edd.

δύ' ἔτη] dedi de conj.; *διετῆ* UMV Ald.; *διετεῖ* vel *διετὲς* corr. RConst.; *διετὲς* St. Sch. Cf. C. E. Ch. Schneider ad Plat. Civ. VII. 540 E.

ἂν δὲ πλείω καὶ καλλίων] corr. Sch.syll.; *δὲ* solus dat U; *ἂν πλείω καὶ καλλίω* Ald.; *καὶ πλείων καὶ καλλίων* Sch.cont. cum G.

Χαιρώνειαν] P Sch. cum Meurs. Th. p. 91; *Χαιρωνιαν* U; *Χερώνιαν* M; *Χερώνειαν* Ald. Edd.; *Cheroniae* G.

ἔτη πλείω] corr. Scalig. Sch.; *ἔτι πλείω* UMV; *ἔτι πλεῖον* Ald. Edd.; *annis pluribus* G.

λοιμὸς — σφοδρὸς] *λιμὸς — σφοδρῶς* U.

ἐκλιπόντος] U Sch. de conj.; *ἐκλείποντος* MV; *ἐκλελειπότος* Ald. H. St.; *ἐκλελοιπότος* Sch.cont. — Antea *ἀλλ'* om. P.

οὐ γενέσθαι] Ald. Edd.; *ὃ γ.* MV; *οὕτω γεν.* mBas; *sic et harundinem provenisse* G.

βαθυνομένης] *μὴ* anteponit St. Spr. vult *πληθυνομένης* scribi. Equidem dubius haereo. Theo. non satis dilucide rem exposuisse videtur, nisi scriptura laborat. Ceterum P dat: *φασὶ γὰρ καὶ βαθυνομένης τῆς λίμνης δοκεῖ μείναντα* etc.

αὐξάνεσθαι τὸν κάλαμον εἰς μῆκος, μείναντα δὲ] U Sch.syll.; verba quatuor priora et *δὲ* om. Ald. Edd.; Sch. fecerat *καὶ μείναντος*, St. *ἀλλὰ μείναντος τοῦ ὕδατος*.

ἀδρύνεσθαι] Sch.; *ἀδρ—* Ald. Edd. Et sic mox quoque.

ᾧ δ' ἄν] UM Ald. Sch.syll.; *οὗδ' ἂν* H.; *ἂν δὲ* St.; *ὅταν δὲ* Sch.cont. auctore RConst. — Paullo ante *τὸν* om. St.

βομβυκίαν] *βοβυνκίαν* V.

4. τὴν μὲν οὖν γένεσιν εἶναι τοιαύτην. διαφέρειν δὲ τῶν ἄλλων καλάμων ὡς καθ' ὅλου λαβεῖν εὐτροφίᾳ τινὶ τῆς φύσεως· εὐπληθέστερον γὰρ εἶναι καὶ εὐσαρκότερον καὶ ὅλως δὲ θῆλυν τῇ προσόψει. καὶ γὰρ τὸ φύλλον πλατύτερον ἔχειν καὶ λευκότερον τὴν δὲ ἀνθήλην ἐλάττω τῶν ἄλλων, τινὰς δὲ ὅλως οὐκ ἔχειν οὓς καὶ προσαγορεύουσιν εὐνουχίας· ἐξ ὧν ἄριστα μέν φασί τινες γίνεσθαι τὰ ζεύγη, κατορθοῦν δὲ ὀλίγα παρὰ τὴν ἐργασίαν. τὴν δὲ τομὴν ὡραίαν εἶναι πρὸ Ἀντιγενίδου μὲν ἡνίκ' ἠΰλουν ἁπλάστως ὑπ' ἄρκτουρον Βοηδρομιῶνος μηνός· τὸν γὰρ οὕτω τμηθέντα συχνοῖς μὲν ἔτεσιν ὕστερον γίνεσθαι χρήσιμον καὶ προκαταυλήσεως δεῖσθαι πολλῆς συμμύειν δὲ τὸ στόμα τῶν γλωττῶν, ὃ
5. πρὸς τὴν διατορίαν εἶναι χρήσιμον. ἐπεὶ δὲ εἰς τὴν πλάσιν μετέβησαν καὶ ἡ τομὴ μετεκινήθη· τέμνουσι γὰρ δὴ νῦν τοῦ Σκιρροφοριῶνος καὶ Ἑκατομβαιῶνος ὥσπερ πρὸ τροπῶν μικρὸν ἢ ὑπὸ τροπάς. γίνεσθαι δέ φασι τριένόν τε χρήσιμον καὶ καταυλήσεως βραχείας δεῖσθαι καὶ κατασπάσματα τὰς γλώττας ἴσχειν· τοῦτο δὲ ἀναγκαῖον τοῖς μετὰ πλάσματος αὐλοῦσι. τοῦ μὲν οὖν ζευγίτου ταύ-
6. τας εἶναι τὰς ὥρας τῆς τομῆς. ἡ δ' ἐργασία γίνεται τοῦτον τὸν τρόπον· ὅταν συλλέξωσι τιθέασιν ὑπαίθριον τοῦ χειμῶνος ἐν τῷ λέμματι· τοῦ δ' ἧρος περικαθάραντες καὶ ἐκτρίψαντες εἰς τὸν ἥλιον ἔθεσαν. τοῦ θέρους δὲ μετὰ ταῦτα συντεμόντες εἰς τὰ μεσογονάτια πάλιν ὑπαίθριον τιθέασι χρόνον τινά. προσλείπουσι δὲ τῷ μεσογονατίῳ τὸ πρὸς τοὺς βλαστοὺς γόνυ· τὰ δὲ μήκη τὰ τού-

εἶναι τοιαύτην] *εἶναι* addidi de meo. Sch. fecerat *τοιαύτην λέγουσι*. Ceterum ni fallor plura hic exciderunt. Nam ad quamnam calami speciem sequentia referenda sint minime apparet. — Post *καλάμων* addit St. i. u. *ὁ ζευγίτης*.

4. *διαφέρειν*] cum RConst. Sch.; *διαφέρει* Ald. Edd.

εὐτροφίᾳ] P H. et Sch. cum G.; *ἀτροφίᾳ* Ald.

εὐπληθέστερον — εὐσαρκότερον] UMVP Sch. et G.; *ἁπληθ.* — *ἀσαρκ.* Ald. H. St. — Ante *εἶναι* posuit *φασιν* St., ut mox ante *ὅλως*. Ceterum *εὐσαρκώτερον* P. — Dein *θῆλυ* P.

ἔχειν] corr. RConst. Sch.; *ἔχει* Ald. Edd. Hic et supra in *διαφέρειν* G. habet infinitivum.

ὡραίαν εἶναι] *εἶναι* om. H. St.; nam in Camotiana per compendium scriptum est *.l:* Inde explicanda verba Schneideri in Comm. „repete e superiore oratione *γενέσθαι*," quamquam ipse in contextu *εἶναι* posuit.

ἄρκτουρον] U Sch.syll.; *ἀρκτούρων* MV; *ἀρκτούρῳ* Ald. Edd.

δεῖσθαι] H. St. Sch.; *δέεσθαι* MV Ald.; *δε εσθαι* cum vestigio rasurae U.

διατορίαν] ex emend. H. Steph. in Thes. l. Gr. s. v. *διακτορία*, quam probant Palmer. Ex. p. 596, Spr. *τορὸς ὁ σαφὴς ἐξ οὗ καὶ διάτορος* Eustath. p. 907. cf. Hesych. s. v.; *διακτορίαν* Ald. Edd. o.; *διακτηρίαν* UMV. Schn. suspicabatur latere vocabulum e *διάτονος* formatum.

5. *καὶ ἡ τομὴ*] U Sch.syll.; *καὶ* om. cett.

δὴ νῦν] U, de corr. Scal. H. St. Sch.; *δεινὴν* MV Ald.

Σκιρροφορ.] *σκίροφορ.* UM.

ὥσπερ] dedi e conj.; *ὡσπερεὶ* U H. St. Sch.; *ὡς περὶ* MV Ald.

τριένον] St. Sch.; *τρίωνον* an *τριοννον* dubium U; *τρινὸν* MV Ald.; *τρινιέν* H.

κατασπάσματα] vox dubia, de qua interpretes in diversas partes eunt. Scal. conj. etiam *καταλάσματα*. Spreng.: *Auch müsson die Zungen noch Schieber* (*Krücken*) *haben, (um den schwingenden Theil der Zunge zu verlängern oder zu verkürzen)*.

ἴσχειν] UMVP; *ἔχειν* Ald. Edd. o.

6. *τοῦτον τὸν τρόπον*] corr. Scalig. cum G., St. Sch.; *τὸν αὐτὸν τρόπον* Ald. H. Ante haec verba excidit *γίνεται* in cont. Schn.

συντεμόντες] Ald. H. Sch.; *συντέμνοντες* M St.

μεσογονάτια] corr. Sch.; *μεσογόνια* Ald. Edd. Bis in Ald. *μεσογονάτιον* scriptum est, bis *μεσογόνιον*.

τὰ πρὸς τοὺς βλαστοὺς γόνυ] Ald. Edd. In Syll. corr. Sch. *τῷ πρὸς τοὺς βλαστοὺς τὸ γόνυ. relicto internodiis superiori geniculo* G.

των οὐ γίνεται διπαλαίστων ἐλάττω. βέλτιστα μὲν οὖν εἶναι τῶν μεσογονατίων πρὸς τὴν ζευγοποιΐαν ὅλου τοῦ καλάμου τὰ μέσα· μαλακώτατα δὲ ἴσχειν ζεύγη τὰ πρὸς τοὺς βλαστοὺς σκληρότατα δὲ τὰ πρὸς τῇ ῥίζῃ· συμφωνεῖν 7.
δὲ τὰς γλώττας τὰς ἐκ τοῦ αὐτοῦ μεσογονατίου τὰς δὲ ἄλλας οὐ συμφωνεῖν· καὶ τὴν μὲν πρὸς τῇ ῥίζῃ ἀριστερὰν εἶναι τὴν δὲ πρὸς τοὺς βλαστοὺς δεξιάν. τμηθέντος δὲ δίχα τοῦ μεσογονατίου τὸ στόμα τῆς γλώττης ἑκατέρας γίνεσθαι κατὰ τὴν τοῦ καλάμου τομήν· ἐὰν δὲ ἄλλον τρόπον ἐργασθῶσιν αἱ γλῶτται ταύτας οὐ πάνυ συμφωνεῖν· ἡ μὲν οὖν ἐργασία τοιαύτη.
φύεται δὲ πλεῖστος μὲν μεταξὺ τοῦ Κηφισοῦ καὶ τοῦ Μέλανος· οὗτος δὲ ὁ τό- 8.
πος προσαγορεύεται μὲν Πελεκανία· τούτου δ' ἔστιν ἄττα Χύτροι καλούμενοι βαθύσματα τῆς λίμνης ἐν οἷς κάλλιστόν φασι γίνεσθαι· γίνεσθαι δὲ καὶ καθ' ὃ ἡ Προβατία καλουμένη καταφέρεται· τοῦτο δ' ἐστὶ ποταμὸς ῥέων ἐκ Λεβαδείας. κάλλιστος δὲ δοκεῖ πάντων γίνεσθαι περὶ τὴν Ὀξεῖαν καλουμένην Καμπήν· ὁ δὲ τόπος οὗτός ἐστιν ἐμβολὴ τοῦ Κηφισοῦ. γειτνιᾷ δ' αὐτῷ πεδίον εὔγειον ὃ προσαγορεύουσι Ἱππίαν. πρόσβορρος δὲ τόπος ἄλλος τῆς Ὀξείας 9.
Καμπῆς ἐστιν ὃν καλοῦσι Βοηδρίαν· φύεσθαι δέ φασι καὶ κατὰ ταύτην εὐγενῆ τὸν κάλαμον. τὸ δὲ ὅλον οὗ ἂν ᾖ βαθύγειον καὶ εὔγειον χωρίον καὶ ἰλυῶδες καὶ ὁ Κηφισὸς ἀναμίσγεται καὶ πρὸς τούτοις βάθυσμα τῆς λίμνης, κάλλιστον γίνεσθαι κάλαμον. περὶ γὰρ τὴν Ὀξεῖαν Καμπὴν καὶ τὴν Βοηδρίαν πάντα ταῦτα ὑπάρχειν. ὅτι δὲ ὁ Κηφισὸς μεγάλην ἔχει ῥοπὴν εἰς τὸ ποιεῖν καλὸν τὸν κάλαμον σημεῖον ἔχουσι· καθ' ὃν γὰρ τόπον ὁ Μέλας καλούμενος ἐμβάλλει βαθείας οὔσης τῆς λίμνης καὶ τοῦ ἐδάφους εὐγείου καὶ ἰλυώδους, ἢ ὅλως μὴ γίνεσθαι ἢ φαῦλον. ἡ μὲν οὖν γένεσις καὶ φύσις τοῦ αὐλητικοῦ καὶ ἡ κατεργασία καὶ τίνας ἔχει διαφορὰς πρὸς τοὺς ἄλλους ἱκανῶς εἰρήσθω. γένη 10.
δὲ οὐ ταῦτα μόνον ἀλλὰ πλείω τοῦ καλάμου τυγχάνει φανερὰς ἔχοντα τῇ αἰ-

μεσογονατίων] Sch.; *μεσογονίων* Ald.

ἴσχειν] Sch.syll., quin praecedunt et sequuntur infinitivi; *ἴσχει* UMV; *ἔχει* Ald. Edd.; *ἔχειν* Sch.cont.

7. *τὰς δὲ ἄλλας*] UMV G. RConst. Sch.; *τὰ δὲ ἄλλα* Ald. H. St.

τῇ ῥίζῃ] *τῇ* om. P.

πρὸς τοὺς βλαστοὺς] Ald. Edd.; *πρὸς τοῦ βλαστοῦ* U.

μεσογονατίου] Sch.; *μεσογονίου* Ald. Edd.; *μεσογονύου* P.

ἐκ. γίνεσθαι] corr. Sch. cum RConst.; *ἐκ. γίνεται* Ald. Edd.

8. *κηφισοῦ*] Hic et deinceps semper *κιφισοῦ* Ald.

μὲν πελεκ.] U, Sch.syll.; *μὲν* om. cett.

τούτου δ' ἔστιν] *δ'* dant UMVP Sch., om. Ald.H.; *τοῦτ' ἐστιν — τὰ βαθύσματα* St.

γίνεσθαι δὲ καὶ καθ' ὃ] Alterum *γίνεσθαι* ex emendatione addidit Sch. Ald. enim sic: *φασι· γίνεσθαι δὲ καθ' ὃν ἡ πρ.*; *καθ' ὃ* dant UMVP, *καὶ οὗ* dederat Sch.cont. Equidem ante *καθ' ὃ* addidi *καὶ*, quod ad sensum necessarium. St.: *φασι γίνεσθαι κάλαμον, καθ' ὃν.*

Λεβαδείας] UMV Sch.syll.; *λεβαδίας* Ald. Edd.; *λιβαδίας* P.

πάντων γίνεσθαι] UMV Sch.; *γίνεσθαι πάντων* Ald. Edd. Deinceps *καλάμων ὁ* addit St.

Καμπὴν] Edd.; *κάμπην* Ald.

ἐμβολὴ] *ἡ ἐμβολὴ* St.

9. *τῆς ὀξείας*] *τῆς τε ὀξ.* Ald. Edd. Inutile *τε* omisi.

εὐγενῆ] *εὐτενῆ* U.

καὶ ὁ κηφ.] St.: (*καὶ γὰρ ὁ κηφ. — βάθυσμά ἐστι τῆς λίμνης*) *ἐκεῖ καλλ.*

τὴν Ὀξεῖαν Καμπὴν καὶ] UMVP G.Sch.; om. Ald. H. St.; *πάντα ταῦτα* U Sch.syll.; *ταῦτα πάντα* Ald. Edd.

τὸν κάλαμον] UMVP Sch.; *τὸν* om. Ald. H. St.

βαθείας — ἐδάφους] *μὴ βαθείας οὔσης τῆς λίμνης οὐδὲ τοῦ ἐδάφους* St.

ἰλυώδους] G.Vo.Sch.; *ἰλώδους* St.; *ὑλώδους* Ald. H.

σθήσει διαφοράς· ὁ μὲν γὰρ πυκνὸς καὶ τῇ σαρκὶ καὶ τοῖς γόνασιν ὁ δὲ μανὸς καὶ ὀλιγογόνατος· καὶ ὁ μὲν κοῖλος ὃν καλοῦσί τινες συριγγίαν, οὐδὲν γὰρ ὡς εἰπεῖν ἔχει ξύλου καὶ σαρκός· ὁ δὲ στερεὸς καὶ συμπλήρης μικροῦ. καὶ ὁ μὲν βραχὺς, ὁ δὲ εὐαυξὴς καὶ ὑψηλὸς καὶ παχύς. ὁ δὲ λεπτὸς καὶ πολύφυλλος ὁ δὲ ὀλιγόφυλλος καὶ μονόφυλλος. ὅλως δὲ πολλαί τινές εἰσι διαφοραὶ κατὰ
11. τὰς φύσεις καὶ τὰς χρείας· ἕκαστος γὰρ πρὸς ἕκαστα χρήσιμος. ὀνόμασι δὲ ἄλλοι ἄλλοις προσαγορεύουσι· κοινότατον δέ πως ὁ δόναξ ὃν καὶ λοχμωδέστατόν γέ φασιν εἶναι καὶ μάλιστα φύεσθαι παρὰ τοὺς ποταμοὺς καὶ τὰς λίμνας. διαφέρειν δ' ὅμως παντὸς καλάμου πολὺ τόν τε ἐν τῷ ξηρῷ καὶ τὸν ἐν τοῖς ὕδασι φυόμενον. ἴδιος δὲ καὶ ὁ τοξικὸς ὃν δὴ κρητικόν τινες καλοῦσιν· ὀλιγογόνατος μὲν σαρκωδέστερος δὲ πάντων καὶ μάλιστα κάμψιν δεχόμενος καὶ ὅλως
12. ἄγεσθαι δυνάμενος ὡς ἂν θέλῃ τις θερμαινόμενος. ἔχουσι δὲ ὥςπερ ἐλέχθη καὶ κατὰ τὰ φύλλα μεγάλας διαφορὰς οὐ πλήθει καὶ μεγέθει μόνον ἀλλὰ καὶ χροιᾷ. ποικίλος γὰρ ὁ λακωνικὸς καλούμενος. ἔτι δὲ τῇ θέσει καὶ προσφύσει· κάτωθεν γὰρ ἔνιοι πλεῖστα φέρουσι τῶν φύλλων, αὐτὸς δὲ ὥςπερ ἐκ θάμνου πέφυκε. σχεδὸν δέ τινές φασι καὶ τῶν λιμναίων ταύτην εἶναι τὴν διαφορὰν τὸ πολύφυλλον καὶ παρόμοιον ἔχειν τρόπον τινὰ τὸ φύλλον τῷ τοῦ κυπείρου καὶ φλεὼ καὶ βρύου καὶ βουτόμου· σκέψασθαι δὲ δεῖ τοῦτο. γένος δέ τι
13. καλάμου φύεται καὶ ἐπίγειον ὃ οὐκ εἰς ὀρθὸν ἀλλ' ἐπὶ γῆς ἀφίησι τὸν καυλὸν ὥςπερ ἡ ἄγρωστις καὶ οὕτως ποιεῖται τὴν αὔξησιν. ἔστι δὲ ὁ μὲν ἄρρην στερεὸς, καλεῖται δὲ ὑπό τινων εἰλετίας. ὁ δὲ ἰνδικὸς ἐν μεγίστῃ διαφορᾷ καὶ ὥςπερ ἕτερον ὅλως τὸ γένος· ἔστι δὲ ὁ μὲν ἄρρην στερεὸς ὁ δὲ θῆλυς κοῖλος· διαιροῦσι γὰρ καὶ τοῦτον τῷ ἄρρενι καὶ θήλει. φύονται δ' ἐξ ἑνὸς πυθμένος

10. *συριγγίαν*] correxit Sch. e Plinio 16 s. 65: *calamus vero alius totus concavus, quem syringiam vocant*, et Discorid. 1, 44. *ἄλλος δὲ συριγγίας; συριγί* U; *σύριγγι* MV; *σύριγγα* Ald. H. St. — Paulo ante *ὃ* pro *ὃν* dant UMV.

μικροῦ] cum RConst. *δεῖ* addidit St.

εὐαυξὴς] H. St. Sch.; *εὐαξὴς* UMV Ald. Gaza nonnulla omisit.

ὁ δὲ λεπτὸς] St.: *καὶ ὁ μὲν λεπτὸς — ὀλιγόφυλλον ἢ καὶ μον.*

11. *ἄλλοι ἄλλοις*] UMVP G. mBas. St. Sch.; *ἄλλοι* om. Ald. H.

λοχμωδ. γε] Ald. Edd.; *λ. τε* Sch.

ὀλιγογόνατος μὲν] mBas. Sch.; *ὀλιγ. δὲ* Ald. H.; *ὀλιγ. γὰρ οὕτως* St.

12. *κατὰ τὰ φύλλα*] *τὰ* om. UMP.

αὐτὸς δέ] RConst. conj. *καυλὸς δὲ*.

σχεδὸν — τὸ πολύφυλλον καὶ παρόμοιον] M, fortasse etiam U et V, nisi vel hic vel uterque *τὸ* ante *πολύφυλλον* omittunt; *διαφοράν, πολύφυλλον καὶ ὀλιγόφυλλον καὶ παρόμ.* Ald. H.; Sch. ante *πολύφυλλον* et *παρόμοιον* posuit *τὸ*; in Syll vero verba *καὶ ὀλιγόφυλλον* uncis damnari jussit, quae neque Gaza habuit. Omisi etiam alterum *τὸ*, quod Sch. addidit, et ad *ἔχειν* repetendum esse *τὰ λιμναῖα* censeo. Sensus est: Quidam putant hanc fere esse (communem quandam) differentiam arundinum palustrium (a ceteris in terra nascentibus), quod folia multa gerunt, atque folia habent quodammodo similia foliis cyperi etc. St.: *ὀλιγόφυλλον εἶναι — φύλλον τοῖς καλάμοις, ὡς ὁ κύπειρος καὶ φλεὼς καὶ βούτομος.*

βρύου] vitiosum esse videtur; Sch. conj: *θρύου.*

δὲ δεῖ τοῦτο] dedi e conj.; *δὲ χρὴ τουτο* RConst. Sch.; *δεῖν* ante *σκέψασθαι* H.; *δὲ τοῦτο δεῖ* St.; *δὲ τοῦτο* UMV Ald.

13. *οὕτως*] UMV; *οὕτω* Ald. Edd. o.

καλεῖται — στερεὸς] USch.syll.; om. cett. propter repetitam vocem *στερεὸς*. Defectum acute significaverat Sch. Vox *εἰλετίας* apud Hesych. *εἰλεσιὰς* scripta.

πολλοὶ καὶ οὐ λοχμώδεις· τὸ δὲ φύλλον οὐ μακρὸν ἀλλ' ὅμοιον τῇ ἰτέᾳ· τῷ δὲ μεγέθει μεγάλοι καὶ εὐπαγεῖς ὥστε ἀκοντίοις χρῆσθαι. φύονται δὲ οὗτοι περὶ τὸν Ἀκεσίνην ποταμόν. ἅπας δὲ κάλαμος εὔζωος καὶ τεμνόμενος καὶ ἐπικαιόμενος καλλίων βλαστάνει· ἔτι δὲ παχύρριζος καὶ πολύρριζος δι ὃ καὶ δυσώλεθρος. ἡ δὲ ῥίζα γονατώδης ὥσπερ ἡ τῆς ἀγρωστίδος, πλὴν οὐ παντὸς ὁμοίως. ἀλλὰ περὶ μὲν καλάμων ἱκανῶς εἰρήσθω.

Cap. XII. Καταλοιπὸν δὲ εἰπεῖν ὡσὰν ἐκ τοῦ γένους τούτου περὶ σχοίνου· 13. H. St
καὶ γὰρ καὶ τοῦτο τῶν ἐνύδρων θετέον. ἔστι δὲ αὐτοῦ τρία εἴδη καθάπερ τινὲς διαιροῦσιν, ὅ τε ὀξὺς καὶ ἄκαρπος ὃν δὴ καλοῦσιν ἄρρενα, καὶ ὁ κάρπιμος ὃν μελαγχρανῖν καλοῦμεν διὰ τὸ μέλανα τὸν καρπὸν ἔχειν, παχύτερος δὲ οὗτος καὶ σαρκωδέστερος· καὶ τρίτος τῷ μεγέθει καὶ τῇ παχύτητι καὶ εὐσαρκίᾳ διαφέρων ὁ καλούμενος ὁλόσχοινος. ἡ μὲν οὖν μελαγχρανὶς αὐτός τις καθ' αὑ- 2
τόν· ὁ δ' ὀξὺς καὶ ὁλόσχοινος ἐκ τοῦ αὐτοῦ φύονται· ὃ καὶ ἄτοπον φαίνεται καὶ θαυμαστόν γ' ἦν ἰδεῖν ὅλης κομισθείσης τῆς σχοινιᾶς· οἱ πολλοὶ γὰρ ἦσαν ἄκαρποι πεφυκότες ἐκ τοῦ αὐτοῦ κάρπιμοι δὲ ὀλίγοι. τοῦτο μὲν οὖν ἐπισκεπτέον. ἐλάττους δὲ ὅλως οἱ κάρπιμοι· πρὸς γὰρ τὰ πλέγματα χρησιμώτερος ὁ ὁλόσχοινος διὰ τὸ σαρκῶδες καὶ μαλακόν. κορυνᾷ δ' ὅλως ὁ κάρπιμος ἐξ αὐτοῦ τοῦ γραμμώδους ἐξοιδήσας κἄπειτα ἐκτίκτει καθάπερ ὠά. πρὸς μιᾷ

τῷ δὲ μεγέθει] τῷ μεγέθει Ald.; τὰ δὲ μεγέθη U, quae scriptura fortasse recipienda; τῷ μεγέθει δὲ St.

εὐπαγεῖς] UM Ald. Sch.; εὐγαγεῖς V; εὐπαχεῖς H. St.

ἀκοντίοις] St. Sch.; ἀκοντίαις Ald. H.; ἀκοντίαν MV; ἀκατίοις conj. Salmas. Ex. p. 716, probat Palmer. Ex. p. 596.

παχύρρ. — πολύρρ.] P et cum Bas. Edd.; παχύριζος — πολύριζ. Ald. Cam.

παντὸς] Ald. H. St.; πάντες mBas.; πάντων cum RConst. Sch.

περὶ μὲν] μὲν om. V.

καλάμων] καλάμου P.

Cap. XII.

μελαγχρανῖν καλ.] dedi fere cum U, ubi μελαγχρανις καλ. est; μελαγχράγνισμα καλ. MV; μελαγχραγνισμὸν καλ. P; μελαγχρανισμὸν καλ. Ald. H.; μελαγχρανῖν μὲν Sch. Sed μὲν abundat.

δὲ οὗτος] corr. cum G. et Plin. H. St. Sch.; δὲ τούτου UMV Ald.

καὶ τρίτος] UMV Ald. Sch.: καὶ om. H.; τρίτος δὲ St.

ὁλόσχοινος] *mariscus* G.

2. φαίνεται] Ald. H. St.; *apparet* G. Cum RConst. ἐφαίνετο Sch.

θαυμαστὸν γ' ἦν ἰδεῖν] sic correxi scripturam librorum cum G *visuque mirabile fuit*; θ. ἐνγ εἴδειν U; θ. ἔν γε ἰδεῖν MVP; θ. ἐνιδεῖν Ald. Edd. Sic poterat antea φαίνεται servari.

κομισθείσης] Vo. Sch.; *deportato* G; κοσμηθείσης Ald. H. St.

σχοινιᾶς] cod. Cas. Scalig. Sch.; σχοινίας Ald. H. St.

τοῦ αὐτοῦ] Ald. Edd.; αὐτοῦ om. MV.

κάρπιμοι δὲ ὁλ.] Ald. Edd.; δὲ om. UMV P G. An vitium subest?

ἐλάττους δὲ] U Sch. syll.; ἐλ. γὰρ Ald. Edd.

οἱ κάρπιμοι] e corr. RConst. St. Sch.; οἱ καρποὶ Ald. H.; *fructus* G.

πρὸς γὰρ τὰ πλ.] Si γὰρ genuinum est ceteris inhaeret vitium. *autem* G.

κορυνᾷ] corr. RConst. H. St. Sch.; κόρυνα Ald.

ᾠᾷ] ὀᾷ conj. Dalec., idque in vers. germ. reddidit Spr.

γὰρ ἀρχῇ γραμμώδει ἔχει τοὺς περισταχυώδεις μίσχους, ἐφ' ὧν ἄκρων παραπλαγίους τὰς τῶν ἀγγείων ἔχει στρογγυλότητας ὑποχασκούσας· ἐν τούτοις δὲ τὸ σπερμάτιον ἀκιδῶδές ἐστι μέλαν ἑκάστῳ προσεμφερὲς τῷ τοῦ ἀστερίσκου
3. πλὴν ἀμενηνότερον. ῥίζαν δὲ ἔχει μακρὰν καὶ παχυτέραν πολὺ τοῦ σχοίνου· αὕτη δ' αὐαίνεται καθ' ἕκαστον ἐνιαυτὸν, εἶθ' ἑτέρα πάλιν ἀπὸ τῆς κεφαλῆς τοῦ σχοίνου καθίεται· τοῦτο δὲ καὶ ἐν τῇ ὄψει φανερὸν ἰδεῖν τὰς μὲν αὔας τὰς δὲ χλωρὰς καθιεμένας· ἡ δὲ κεφαλὴ ὁμοία τῇ τῶν κρομύων καὶ τῇ τῶν γητείων, συμπεφυκυῖά πως ἐκ πλειόνων εἰς ταὐτὸ καὶ πλατεῖα κάτωθεν ἔχουσα κελύφη ὑπέρυθρα. συμβαίνει δ' οὖν ἴδιον ἐπὶ τῶν ῥιζῶν εἰ αὐαίνονται κατ' ἐνιαυτὸν καὶ ἐκ τοῦ ἄνωθεν πάλιν ἡ γένεσις. τῶν μὲν οὖν σχοίνων τοιαύτη τις
4. φύσις. εἰ δὲ καὶ ὁ βάτος καὶ ὁ παλίουρος ἔνυδρά πώς ἐστιν ἢ πάρυδρα καθάπερ ἐνιαχοῦ, φανεραὶ σχεδὸν καὶ αἱ τούτων διαφοραί· περὶ ἀμφοῖν γὰρ εἴρηται πρότερον. τῶν δὲ νήσων τῶν πλοάδων τῶν ἐν Ὀρχομενῷ τὰ μὲν μεγέθη παντοδαπὰ τυγχάνει, τὰ δὲ μέγιστα αὐτῶν ἐστιν ὅσον τριῶν σταδίων τὴν περίμετρον. ἐν Αἰγύπτῳ δὲ μάλιστα μεγάλα σφόδρα συνίσταται, ὥστε καὶ ὗς ἐν αὐταῖς ἐγγίνεσθαι πολλοὺς οὓς καὶ κυνηγετοῦσι διαβαίνοντες. καὶ περὶ μὲν ἐνύδρων ταῦτ' εἰρήσθω.

γραμμώδει] corr. RConst. St. Sch.; *γραμμώδεις* Ald. H. Ordo verborum ita suadet facere.

περισταχυώδεις] Vox dubia necdum ab interpretibus intellecta, ut et sequens *παραπλαγίους*. Gaza vertit: *Fructus omnino minor habetur. Commodior autem ad texendum mariscus: quia mollis carnosusque est. Omnino frugifer in callum de regulari surculo ipso tumescens: mox veluti ova parit: circundantes enim spicatim pediculos junco lineari affixos initio gerit. Quorum summitatibus paululo laterales orbes vasculorum leviter hiscentes inducit.*

ὑποχασκούσας] corr. Sch. in Comm.; *ἐπισχαζούσας* Ald. H.; *ἐπιχασκούσας* St.; *ἐπιχασχαζούσας* Sch.cont.

τῷ τοῦ ἀστ.] *ταῖς τοῦ ἀστ.* U. — RConst. conj. *ἀστερίκου*.

3. *τοῦ σχοίνου*] Ald. H. Sch.; *ὁ ὀλίσχοινος* St.; *quam acutus* G., unde RConst. conj. *τοῦ ὀξυσχοίνου*.

κεφαλῆς — καθίεται] Omnes superiorum interpretum opiniones, qui *κεφαλῆς* de radice bulbosa intellexerunt et mox schoeni radicem cum bulbis allii comparari putaverunt, accurata et subtili disputatione convellit Schneider, qua explicuit *κεφαλὴν* intelligendum esse de supera parte plantae (*caoumine in terram defixo* Plin.), et *καθίεσθαι* non dici posse de radice nova ex vetere propullulante, quoniam ea non demittitur, sed significare *e loco superiore in inferiorem demitti*, unde colligit Theophrastum loqui hic de planta quadam e summo caule prolifera vel vivipara. Spreng. tamen in vers. germ. viri docti curas prorsus neglexit.

γητείων] *γοητείων* P.

συμβαίνει δ' οὖν] corr. Sch.; *συμ. δ' ἂν* Ald. H.; *ergo eveniat* G.

ῥιζῶν εἰ αὐαίνονται] U; *ῥ. εἰ αὐ.* MV; *ῥιζῶν ἢ αὐαι.* P; *ῥιζῶν εἶναι· αὐαι.* Ald. H.; *ῥ. εἴ γε αὐ.* Sch.cont.; *ῥ. εἴ γ' αὐ.* idem in Syll.; *συμβαίνει δὲ ἴδ.* — *ῥιζῶν εἶναι ὅτι αὐ.* St.; *ὅτι* post *εἶναι* inser. mBas.

ἐκ τοῦ ἄν.] *εἰ τ. ἀ.* U.

4. *εἰ δὲ καὶ*] UMV Sch.syll.; *ἤδη δὲ καὶ* Ald. H. St.; *εἴδη δὲ καὶ* Sch.cont. Paulo ante *ἡ φύσις* Sch.

φανεραὶ σχεδὸν] U Sch.syll.; *φαν. δὲ σχ.* Ald. Edd. o.

τὰ δὲ μέγιστα] U Sch.syll.; *τὸ δὲ μέγιστον* Ald. Edd.

μάλιστα] V Sch.; om. UM Ald. H. St.

μεγάλα] UMV Sch.syll.; *μεγάλας* Ald. Edd. o.

συνίσταται] corr. Sch.syll.; *συνίστασθαι* Ald. Edd.

αὐταῖς] P; *αὐτοῖς* Ald. Edd. o.

Cap. XIII. Περὶ δὲ βραχυβιότητος φυτῶν καὶ δένδρων τῶν ἐνύδρων ἐπὶ το- 14. H.St.
σοῦτον ἔχομεν ὡς ἂν καθ' ὅλου λέγοντες ὅτι βραχυβιώτερα τῶν χερσαίων ἐστὶ καθάπερ καὶ τὰ ζῶα. τοὺς δὲ καθ' ἕκαστον βίους ἱστορῆσαι δεῖ τῶν χερσαίων. τὰ μὲν οὖν ἄγριά φασιν οὐδεμίαν ἔχειν ὡς εἰπεῖν οἱ ὀρεοτύποι διαφορὰν ἀλλὰ πάντα εἶναι μακρόβια καὶ οὐθὲν βραχύβιον· αὐτὸ μὲν τοῦτο ἴσως ἀληθὲς λέγοντες· ἅπαντα γὰρ ὑπερτείνει πολὺ τὴν τῶν ἄλλων ζωήν. οὐ μὴν ἀλλ' ὅμως ἐστὶ τὰ μὲν μᾶλλον τὰ δ' ἧττον μακρόβια καθάπερ ἐν τοῖς ἡμέροις· ποῖα δὲ ταῦτα σκεπτέον. τὰ δὲ ἥμερα φανερῶς διαφέρει τῷ τὰ μὲν εἶναι μακρόβια τὰ δὲ βραχύβια· ὡς δ' ἁπλῶς εἰπεῖν τὰ ἄγρια τῶν ἡμέρων μακροβιώτερα καὶ ὅλως τῷ γένει καὶ τὰ ἀντιδιῃρημένα καθ' ἕκαστον, οἷον κότινος ἐλάας καὶ ἀχρὰς ἀπίου ἐρινεὸς συκῆς· ἰσχυρότερα γὰρ καὶ πυκνότερα καὶ ἀγονώτερα τοῖς περικαρπίοις. τὴν δὲ μακροβιότητα μαρτυροῦσιν ἐπί γέ τινων καὶ ἡμέρων καὶ 2.
ἀγρίων καὶ αἱ παραδεδομέναι φῆμαι παρὰ τῶν μυθολόγων· ἐλάαν μὲν γὰρ λέγουσι τὴν Ἀθήνῃσι φοίνικα δὲ τὸν ἐν Δήλῳ κότινον δὲ τὸν ἐν Ὀλυμπίᾳ ἀφ' οὗ ὁ στέφανος φηγοὺς δὲ τὰς ἐν Ἰλίῳ τὰς ἐπὶ τοῦ Ἴλου μνήματος· τινὲς δέ φασι καὶ τὴν ἐν Δελφοῖς πλάτανον Ἀγαμέμνονα φυτεῦσαι καὶ τὴν ἐν Καφύαις τῆς Ἀρκαδίας. ταῦτα μὲν οὖν ὅπως ἔχει τάχ' ἂν ἕτερος εἴη λόγος· ὅτι δέ ἐστι μεγάλη διαφορὰ τῶν δένδρων φανερόν· μακρόβια μὲν γὰρ τά τε προειρημένα καὶ ἕτερα πλείω· βραχύβια δὲ καὶ τὰ τοιαῦτα ὁμολογουμένως οἷον ῥοιὰ συκῆ μηλέα, καὶ τούτων ἡ ἠρινὴ μᾶλλον καὶ ἡ γλυκεῖα τῆς ὀξείας ὥσπερ τῶν ῥοῶν ἡ ἀπύρηνος. βραχύβια δὲ καὶ ἀμπέλων ἔνια γένη καὶ μάλιστα τὰ πολύκαρπα· δοκεῖ δὲ καὶ τὰ πάρυδρα βραχυβιώτερα τῶν ἐν τοῖς ξηροῖς εἶναι οἷον ἰτέα λεύκη ἀκτὴ αἴγειρος. ἔνια δὲ γηράσκει μὲν καὶ σήπεται ταχέως παραβλαστάνει 3.
δὲ πάλιν ἐκ τῶν αὐτῶν ὥσπερ αἱ δάφναι καὶ αἱ μηλέαι τε καὶ αἱ ῥόαι καὶ τῶν

Cap. XIII.

φυτῶν καὶ δέν.] Ald.; *δένδρων καὶ φυτῶν* Sch.

τῶν ἐνύδρ.] U; *τῶν μὲν ἐν.* Ald. Edd.; *τῶν ἐνύδρων, τῶν μὲν ἐνύδρων* M.

τοὺς δὲ — ἱστορῆσαι] UM Sch.syll.: *τοὺς καθ' ἕκαστον βίους πορίσαι* V; *τοὺς δὲ καθ' ἕκαστα βίους ἱστορῆσαι* Ald. et, *τοὺς* in *τῶν* mutato, H. St. Sch.cont.

τῶν χερσαίων. τὰ μὲν οὖν ἄγρια] Ald. Edd.; *τῶν δὲ χερσαίων τὰ μὲν ἄγρια* U; *δὴ τῶν χ. τὰ μὲν ἄ.* MV.

ὡς εἰπεῖν] corr. Sch.; *ὡς ἂν εἴποιεν* Ald. H. St.; *ὡς εἰπεῖ* U; *ὡς εἴποι* MV.

καὶ ὅλως τῷ γένει καὶ τὰ ἀντ.] dedi e conj.; *καὶ ὅ. τῷ γένει κατὰ ἀντ.* UMV; *κ. ὅ. τ. γένει τὰ ἀντ.* Ald. H., *ἐν* post *ὅλως* add. St.; *καὶ ὅ. τὰ τῷ γένει ἀντιδ.* Sch.cont.; *καὶ τὰ ὅλῳ τῷ γένει ἀντ.* idem in Syll. Opposita sunt *ὅλως τῷ γένει* et *τὰ ἀντιδιῃρημένα καθ' ἕκαστον*: *et omnino toto genere sylvestria habent vitam longiorem quam domestica, et singulae eorum species domesticis singulis respondentes affinesque.*

ἐλάας] U; *ἐλαίας* Ald. Edd. o.

ἰσχυρότερα] P Sch.syll.; *ἰσχυρώτερα* Ald. Edd. o.

2. *ἀφ' οὗ ὁ στέφανος*] om. G., Sch. in cont. seclusit; *οἱ στέφανοι* St.

Ἰλίῳ] Ald. Edd.; *ἠλίωι* U; *ηδιω* MV. — Deinde *μίλον μνημ.* P2.

ὅπως ἔχει] UMVP2 Sch.; *ὅπως ἂν ἔχῃ* Ald. Edd.

τάχ' ἄν] *τάχ' ἂν ον* V.

καὶ τὰ τοι.] U Sch.syll.; *καὶ* om. cett.

ῥοιά] P2 Ald. H. St.; *ῥόα* Sch.

ῥοῶν] Ald. H. Sch.; *ῥοιῶν* St.

καὶ τὰ πάρυδρα] MVP G. Sch.; *καὶ* om. Ald. Edd.

ἀκτή] Ald. H. St.; *ἀκτῆ* Sch.

3. *καὶ αἱ μηλέαι τε καὶ αἱ ῥόαι*] U, ubi *ῥοαὶ* scriptum, Sch.syll.; *καὶ αἱ μηλέαι τε καὶ ῥοαὶ* M; *καὶ αἱ μηλέαι* etiam V; *καὶ αἱ μηλέαι καὶ ῥοαὶ* P; *καὶ μηλέαι καὶ ῥοαὶ* Ald.; *καὶ αἱ μηλέαι καὶ αἱ ῥόαι* Sch.cont.

φιλόδρων τὰ πολλά· περὶ ὧν καὶ σκέψαιτ' ἄν τις πότερα ταὐτὰ δεῖ λέγειν ἢ ἕτερα· καθάπερ εἴ τις τὸ στέλεχος ἀποκόψας ὥσπερ ποιοῦσιν οἱ γεωργοὶ πάλιν ἀναθεραπεύοι τοὺς βλαστούς, ἢ εἰ καὶ ὅλως ἐκκόψειεν ἄχρι τῶν ῥιζῶν καὶ ἐπικαύσειεν· καὶ γὰρ ταῦτα ποιοῦσιν, ὁτὲ δὲ καὶ ἀπὸ τοῦ αὐτομάτου συμβαίνει· πότερα δὴ τοῦτο ταὐτὸ δεῖ λέγειν ἢ ἕτερον· ᾗ μὲν γὰρ ἀεὶ τὰ μέρη τὰς αὐξήσεις καὶ φθίσεις φαίνεται παραλλάττοντα καὶ ἔτι τὰς διακαθάρσεις τὰς ὑπ' αὐτῶν, ταύτῃ μὲν ἂν δόξειε ταὐτὸν εἶναι· τί γὰρ ἂν ἐπὶ τούτων ἢ ἐκείνων διαφέροι· ᾗ δ' ὥσπερ οὐσία καὶ φύσις τοῦ δένδρου μάλιστ' ἂν φαίνοιτο τὸ στέλεχος, ὅταν μεταλλάττῃ τοῦτο κἂν τὸ ὅλον ἕτερον ὑπολάβοι τις· εἰ μὴ ἄρα διὰ τὸ ἀπὸ τῶν αὐτῶν ἀρχῶν εἶναι ταὐτὸ θείη· καίτοι πολλάκις συμβαίνει καὶ τὰς ῥίζας ἑτέρας εἶναι καὶ μεταβάλλειν τῶν μὲν σηπομένων τῶν δ' ἐξ ἀρχῆς βλαστανουσῶν. ἐπεὶ ὥς γέ τινές φασι τὰς ἀμπέλους μακροβιωτάτας εἶναι τῷ μὴ φύειν ἑτέρας ἀλλ' ἐκ τῶν αὐτῶν ἀεὶ συναναπληροῦσθαι γελοῖον ἂν ἴσως δοκοίη εἶναι ἡ σύγκρισις ἐὰν μὴ μένῃ τὸ στέλεχος· αὕτη γὰρ οἷον ὑπόθεσις καὶ φύσις δένδρων. τοῦτο μὲν οὖν ὁποτέρως ποτὲ λεκτέον οὐθὲν ἂν διενέγκαι πρὸς
5. 15 H. τὰ νῦν. τάχα δ' ἂν εἴη μακροβιώτατον τὸ πάντως δυνάμενον αὐταρκεῖν ὥσπερ ἡ ἐλάα καὶ τῷ στελέχει καὶ τῇ παραβλαστήσει καὶ τῷ δυσωλέθρους ἔχειν τὰς

καθάπερ] *καὶ*, quod anteponunt Ald. H. St., cum Sch. exclusi, cum nullo modo ferendum sit.

ἀναθεραπεύοι] sic correxi. Optativum et sententiae ratio et sequentia postulant. *ἀναθεραπεύει* Ald. Edd. o. Deinceps *διὰ βλαστοὺς* cum Cam. H.

ἢ εἰ καὶ ὅλως ἐκκ.] dedi de conj.; *ἃ εἰ καὶ καλῶς ἐκ.* U; *ἀεὶ καὶ καλῶς ἐκκ.* MV; *καὶ εἰ καλῶς ἐκκ.* Ald. H.; *καὶ εἰ ὅλως ἐκκ. ἂν ἄχρι* St.; *βλαστοὺς καλῶς· καὶ εἰ ἐκκ.* Sch. Post *ἐπικαύσειε* repete cogitatione *τοὺς δὲ βλαστοὺς ἀναθεραπεύοι*, quod subaudiri commode potest.

ἐκκόψειεν] Ald. Edd.; *ἐκκόψειν* UMV.

ταῦτα] UMVP; *τοι ταῦτα* Ald. H.

ἀπὸ τοῦ αὐτ.] corr. Sch.; *ἐπὶ τοῦ αὐτ.* Ald. H. — Post *συμβαίνει* add. *τοῦτο* St.

δὴ] Ald. Edd.; *δὲ* UMV.

τοῦτο] Ald. Edd.; *τούτῳ* U.

ᾗ μὲν γὰρ] *ἣν* H. — Servavi scripturam U et Ald., mutato tantum *παραλλάττουσα* Aldinae (*διαλλάττουσα* U?) in *παραλλάττοντα*, quod fecerat etiam St. Sch. (ex errore in cont. Sch. *παραλλάττον* scriptum). St. om. *ἔτι* et *καθάρσεις ταύτας* scripsit. Sch.: *μέρη κατὰ τὰς αὐξήσεις καὶ φθίσεις καὶ ἔτι τὰς διακαθάρσεις τὰς ὑπ' αὐτῶν φαίνεται παραλλάττοντα, ταύτῃ.* Sed his mutationibus non opus est. Dicit: *quatenus enim partes semper et crescendo et pereundo mutari apparet itemque se ipsas expurgando: eatenus illud esse idem videtur.*

4. *ᾗ δ'*] *ἡ δ'* Ald.; *ᾗ δ'* MV; *ᾗν δ'* H. cum G.

φαίνοιτο] Ald. Hdd.; *φαίνεται* UMV.

τὸ ὅλον] *τὸ* om. M.

ὑπολάβοι] UMV Sch.; *ὑπολάβῃ* Ald. H. St.

ταὐτὸ] UMV Sch.; *αὐτὸ* Ald. Edd.; *idem* G.

πολλάκις] corr. St. Sch.; *πολλὰ καὶ* Ald. H.; *saepenumero* G.

ἐπεὶ ὥς] *ἐπεὶ δ' ὥς* St.

μακροβιωτάτας] UMVP Sch.; *μακροβιωτάτους* Ald. Edd.

ἐκ τῶν αὐτῶν] sic correxi; *ἐξ αὐτῶν* Ald. Edd. Sch.syll.; *ἐξ αὑτῶν* Sch.cont. Oportet adesse cui oppositum sit *ἑτέρας*, propterea *τῶν αὐτῶν* scribendum. *συναναπληροῦσθαι, suppleri* scil. *τὰς ἀμπέλους*, i. e. ex iisdem radicibus vitis surculos semper novos sursum mitti in eorum locum qui vel frigore vel alia quacunque injuria enecati perierunt.

δοκοίη εἶναι ἡ σ.] corr. Sch.syll., quam scripturam interim adoptavi; *δικαιοτάτη σύγκρισις* MV Ald.; *δικαιοτάτῃ συγκρίσεις* U; *δικαιότατα ἡ σύγκρισις* H. St. Praeterea Sch. in Syll. *γελοία* scripsit. Sed de tota emendandi ratione dubito an recte inita sit. Forsan scribendum *δοκοιη ταύτας συγκρίνειν ἐὰν μένῃ* i. e. ridiculum videatur radicibus causam vitae longae tribuere, si truncus, pars infera lignosa vitis, quae quidem omnis arboris pars principalis est, perstet.

ἐὰν μὴ μένῃ] m Bas. Vo. Sch.; *μὴ* om. Ald. Edd.; *modo caudex non perduret* G.

οὐθέν] UMVP; *οὐδὲν* Ald. Edd. o.

διενέγκαι] UMV Sch.; *διενέγκῃ* Ald. H. St.

ῥίζας. δοκεῖ δὲ ὁ βίος τῆς γ' ἐλάας εἶναι, καθ' ὃ τοῦ στελέχους δεῖ τὸν ὄγκον τιθέντα μέτρον ἀναμετρεῖν τὸν χρόνον, μάλιστα περὶ ἔτη διακόσια. εἰ δ' ὅπερ ἐπὶ τῶν ἀμπέλων λέγουσί τινες, ὡς παραιρουμένων τῶν ῥιζῶν κατὰ μέρος δύναται διαμένειν τὸ στέλεχος καὶ ἡ ὅλη φύσις ὁμοία καὶ ὁμοιοφόρος ὁποσονοῦν χρόνον, μακροβιώτατον ἂν εἴη πάντων. φασὶ δὲ δεῖν οὕτω ποιεῖν ὅταν ἤδη δοκῇ καταφέρεσθαι· κλήματά τε ἐπιβάλλειν καὶ καρποῦσθαι τὸν ἐνιαυτόν· μετὰ δὲ ταῦτα κατασκάψαντα ἐπὶ θάτερα τῆς ἀμπέλου περικαθᾶραι πάσας τὰς ῥίζας, εἶτ' ἐμπλῆσαι φρυγάνων καὶ ἐπαμήσασθαι τὴν γῆν· τούτῳ 6.
μὲν οὖν τῷ ἔτει κακῶς φέρειν σφόδρα τῷ δ' ὑστέρῳ βέλτιον τῷ δὲ τρίτῳ καὶ τετάρτῳ καθίστασθαι καὶ φέρειν πολλοὺς καὶ καλοὺς ὥστε μηδὲν διαφέρειν ἢ ὅτε ἤκμαζεν· ἐπειδὰν δὲ πάλιν ἀποπληγῇ θάτερον μέρος παρασκάπτειν καὶ θεραπεύειν ὁμοίως, καὶ οὕτως αἰεὶ διαμένειν· ποιεῖν δὲ τοῦτο μάλιστα δι' ἐτῶν δέκα· δι' ὃ καὶ οὐ κόπτειν οὐδέποτε τοὺς τοῦτο ποιοῦντας ἀλλ' ἐπὶ γενεὰς πολλὰς ταὐτὰ τὰ στελέχη διαμένειν ὥστε μηδὲ μεμνῆσθαι τοὺς φυτεύσαντας· τοῦτο μὲν οὖν ἴσως τῶν πεπειραμένων ἀκούοντα δεῖ πιστεύειν. τὰ δὲ μακρόβια καὶ βραχύβια διὰ τῶν εἰρημένων θεωρητέον.

Cap. XIV. Νοσήματα δὲ τοῖς μὲν ἀγρίοις οὐ φασι ξυμβαίνειν ὑφ' ὧν ἀναι- 16 H.
ροῦνται, φαύλως δὲ διατίθεσθαι καὶ μάλιστα ἐπιδήλως ὅταν χαλαζοκοπηθῇ ἢ 15 St.
βλαστάνειν μέλλοντα ἢ ἀρχόμενα ἢ ἀνθοῦντα, καὶ ὅταν ἢ πνεῦμα ψυχρὸν ἢ θερμὸν ἐπιγένηται κατὰ τούτους τοὺς καιρούς. ὑπὸ δὲ τῶν ὡραίων χειμώνων οὐδὲ ἂν ὑπερβάλλοντες ὦσιν οὐδὲν πάσχειν ἀλλὰ καὶ ξυμφέρειν πᾶσι χειμασθῆναι· μὴ χειμασθέντα γὰρ κακοβλαστότερα γίνεσθαι. τοῖς δὲ ἡμέροις ἐστὶ 2.
πλείω νοσήματα καὶ τὰ μὲν ὥσπερ κοινὰ πᾶσιν ἢ τοῖς πλείστοις τὰ δ' ἴδια κατὰ γένη. κοινὰ δὴ τό τε σκωληκοῦσθαι καὶ ἀστροβολεῖσθαι καὶ ὁ σφακελισμός.

5. *αὐταρκεῖν*] *ἀνταρκεῖν* U.

τῆς γ' ἐλάας — τὸν ὄγκον] Ita conatus sum e conjectura emendare. *τῆς γε μιᾶς εἶναι* (*ἔχειν* V) *καθ' ὃν στέλεχος ἤδη* (*εἰ δεῖ* U, *εἴδει* M) *τὴν ἀρχὴν* Ald. H.; *τῆσδ' ἐλαίας κατὰ τὸ στέλεχος ἤδη τιθέντα τοῦτο ὡς μέτρον χρόνου* etc. St.; *εἶναι καθ' ὃν τὸ στέλ. ἤδη τ. ἀ. τ. καὶ μέτρον χρὴ ἂν.* Sch.cont.; *εἶναι καθ' ὃν τὸ στέλ. εἰ δεῖ τὴν ἀ. τι. καὶ μέτρον ἂν.* Sch.syll.

ὡς παραιρουμένων] U Sch.syll.; *ὥσπερ αἱρουμένων* M; *ὡς περιαιρουμένων* Ald. Edd.

ὁμοιοφόρος] *ὁμοιως φορος* U.

ἂν εἴη] *ἂν* om. UMV.

ποιεῖν] Ald. H. St. Sch.; *πονεῖν* Bas.

τὸν ἐνιαυτόν] *τὸν* add. Sch., om. P_2 Ald. H.; *δι' ἐνιαυτόν* St. — Dein *ἐπισκάψαντα* P_2.

6. *ἐπειδὰν δὲ*] *καὶ ἐπειδὰν* St.

παρασκάπτειν] UP$_2$ Sch.syll.; *κατασκάπτειν* Ald. Edd. — *δεῖ* addidit St.

ποιεῖν δὲ] *δεῖ* add. St.

οὐ κόπτειν] *οὐ* om. U.

ταὐτὰ τὰ στελ.] dedi cum St.; *ταῦτα τὰ στ.* Ald. H. Sch.

διαμένειν] *φασι* add. St.

Cap. XIV.

οὔ φασι] mBas. H. St. Sch.; *οὐ* om. Ald.; *morbos silvestribus accidere negant* G. C. pl. 5, 9, 1 *νοσήματα δὲ τῶν ἀγρίων οὐ λέγεται.*

ὑπερβάλλοντες] UMV Ald. Sch.; *ὑποβάλλοντες* H. St.

2. *τοῖς δὲ ἡμέροις*] *ταῖς δὲ ἡμέραις* H.

κατὰ γένη] dedi de conj.; *καὶ τὰ γένη* U MV; *καὶ κατὰ γένη* Ald. Edd.; *κατὰ τὰ γένη* Sch.syll.

κοινὰ δὴ τό τε] sic emendavi; *κοινὰ καὶ τότε* UMV; *κοινά· οἷον τότε* Ald. H. St.; *κοινὰ* [*μὲν*] *οἷον τό τε* Sch.cont.; *κοινὰ μὲν οὖν τό τε* Sch.syll.

ἅπαντα γὰρ ὡς εἰπεῖν καὶ σκώληκας ἴσχει πλὴν τὰ μὲν ἐλάττους τὰ δὲ πλείους καθάπερ συκῆ μηλέα καὶ ἄπιος. ὡς δὲ ἁπλῶς εἰπεῖν ἥκιστα σκωληκοῦνται τὰ ὁριμέα καὶ ὀπώδη, καὶ ἀστροβολεῖται ὡσαύτως· μᾶλλον δὲ τοῖς νέοις ἢ τοῖς ἐν ἀκμῇ τοῦτο συμβαίνει πάντων δὲ μάλιστα τῇ τε συκῇ καὶ τῇ ἀμπέ-
3. λῳ. ἡ δ' ἐλάα πρὸς τῷ τοὺς σκώληκας ἴσχειν, οἳ δὴ καὶ τὴν συκῆν διαφθείρουσιν ἐντίκτοντες, φύει καὶ ἦλον· οἱ δὲ μύκητα καλοῦσιν ἔνιοι δὲ λοπάδα· τοῦτο δ' ἐστὶν οἷον ἦλοι αὐτῶν. διαφθείρονται δ' ἐνίοτε καὶ αἱ νέαι ἐλάαι διὰ τὴν ὑπερβολὴν τῆς πολυκαρπίας. ἡ δὲ ψώρα καὶ οἱ προσφυόμενοι κοχλίαι συκῆς εἰσιν· οὐ πανταχοῦ δὲ τοῦτο συμβαίνει ταῖς συκαῖς, ἀλλ' ἔοικε καὶ τὰ νοσήματα γίνεσθαι κατὰ τοὺς τόπους ὥσπερ τοῖς ζώοις· ἐπεὶ παρ' ἐνίοις οὐ
4. ψωριῶσι καθάπερ οὐδὲ περὶ τὴν Αἰνείαν. ἁλίσκεται δὲ συκῆ μάλιστα καὶ σφακελισμῷ καὶ κράδῳ. καλεῖται δὲ σφακελισμὸς μὲν ὅταν αἱ ῥίζαι μελανθῶσι, κράδος δ' ὅταν οἱ κλάδοι· καὶ γὰρ καλοῦσί τινες κράδους ὅθεν καὶ τοὔνομα τῇ νόσῳ· ὁ δ' ἐρινεὸς οὔτε κραδᾷ οὔτε σφακελίζει οὔτε ψωριᾷ οὔτε σκωληκοῦται ταῖς συκαῖς ὁμοίως· οὐδὲ δὴ τὰ ἐρινά τινες ἀποβάλλουσιν οὐδ' ἐὰν ἐμφυ-
5. τευθῶσιν εἰς συκῆν. ἡ δὲ ψώρα μάλιστα γίνεται ὅταν ὕδωρ ἐπὶ Πλειάδι γένηται μὴ πολύ· ἐὰν δὲ πολὺ ἀποκλύζεται· συμβαίνει δὲ τότε καὶ τὰ ἐρινὰ ἀπορρεῖν καὶ τοὺς ὀλύνθους· τῶν δὲ σκωλήκων τῶν ἐν ταῖς συκαῖς οἱ μὲν ἐξ αὐτῆς γίνονται οἱ δὲ ἐντίκτονται ὑπὸ τοῦ καλουμένου κεράστου· πάντες δὲ εἰς κεράστην ἀποκαθίστανται· φθέγγονται δὲ οἷον τριγμόν. νοσεῖ δὲ συκῆ καὶ ἐὰν ἐπομβρία γένηται· τά τε γὰρ πρὸς τὴν ῥίζαν καὶ αὐτὴν τὴν ῥίζαν ὥσπερ μαδᾷ

ὀπώδη] UMV Ald. Sch.syll.; *εὐώδη* H. St. Sch.cont., quod ductum est e Plin. 17, 37, 3. *odoratae;* Gaza vero *succo humentes lacteo*, ac Exc. P₂ *ὅσα δὲ ὁριμεῖς ὁ ποῦς ἔχει ἧττον.* Cf. etiam C. 5, 9, 4.

τοῖς νέοις ἢ] UMVP G. Sch.; om. Ald. Edd. *καὶ μᾶλλον τὰ νέα* P₂.

3. *πρὸς τῷ*] UMVP Sch.; *πρὸς τὸ* Ald. Edd.

ἴσχειν] UMVP Sch.syll.; *ἔχειν* Ald. Edd. o.

ὃ δὴ καὶ] *οἳ δὲ καὶ* VP St.

οἱ δὲ μ.] *ὧν οἱ μὲν* St.

ἦλοι αὐτῶν] Ald. Sch.; *ἡλοιαυτον* U; *ἦλοι αὐτὸν* V; *ἥλοι αὐτῶν* M; *ἥλιον καύσις* auctore Scaligero H. St. ductum e Plinio, quem secutus est G. *veluti solis exustio.* Quod mihi displicet et propter praecedens *οἷον*, et propter *ἐστι*, cum potius dicendum fuisset *γίνεται ἐξ ἡλίου καύσεως.* Vero fortasse proxima est lectio Urbinatis, in qua tamen quid lateat, nondum assequi potui.

ὑπερβολὴν] PP₂ H. St. Sch.; *ὑποβολην* Ald.

συκῆς εἰσιν] Ald. Edd. o., etiam G. et Plin.; *τῆς εἰσιν* UMV; *συκῆς ἰδίαι εἰσὶν* St.

4. *δὲ συκῆ*] UMVP Sch.; *δὲ* om. Ald. H.; *δὲ ἡ συκῆ* St.

μάλιστα] *μᾶλιστα* cum Cam. H.

καλοῦσί τινες κράδους] UMV Ald. Sch.; *καλ. τινες τοὺς τῆς συκῆς κλαδοὺς κράδους* cum G. H. et St.; hic auctore Bodaeo dedit *κράδας*, quod exhibet P₂.

ταῖς συκαῖς ὁμ.] corr. Sch. e C. pl. 5, 9, 4; *ταῖς ῥίζαις* P Ald. St.; *ταῖς ῥίζας* cum Cam. H.

ἐρινὰ] Edd. o.; *ἔρινα* Sch.syll..

οὐδ'] UMV; *οὐδὲ* Ald. Edd. o.

ἐὰν ἐμφυτευθῶσιν] corr. Sch.syll.; *ἐὰν ἔνι φυτ.* UMV; *ἐὰν ἔνια φυτ.* Ald. Edd.

5. *γένηται*] *μένηται* H.

ἀποκλύζεται] *ἢ καὶ ἀποκλύζηται* St.

ἐρινὰ] Ald. Edd. o.; *ἔρινα* P₂.

ἐξ αὐτῆς] P₂ Ald. Edd.; *ἐξ αὐτῶν* mBas. Sch.

τριγμὸν] U; sic etiam C. pl. 5, 10, 5; *τρισμὸν* Ald. Edd. o.

συκῆ] *συκῆν* M.

τά τε γὰρ πρὸς] UMV Sch.; *τά γε πρὸς* Ald. Edd.; *τὰ γὰρ πρὸς* P.

καὶ αὐτὴν τὴν ῥίζαν] U Sch.syll.; om. Ald. Edd.

μαδᾷ] UMV Ald. H. St. Sch.syll.; *μυδᾷ* Sch.cont Vide C. 5, 9, 9. Exc. P₂: *νοσεῖ δὲ καὶ ἀπὸ ἐπομβρίας· κραδᾶ γὰρ πρὸς τὴν ῥίζαν ὅ τινες καλοῦσι λοπάδα.*

τοῦτο δὲ καλοῦσι λοπάδα. ἡ δ' ἄμπελος τραγᾷ· τοῦτο δὲ μάλιστα αὐτῆς ἐστι 6.
πρὸς τῷ ἀστροβολεῖσθαι, ἢ ὅταν ὑπὸ πνευμάτων βλαστοκοπηθῇ ἢ ὅταν τῇ ἐργασίᾳ συμπάθῃ ἢ τρίτον ὑπτία τμηθῇ. ῥυὰς δὲ γίνεται, ὃ καλοῦσί τινες ψίνεσθαι, ὅταν ἐπινιφθῇ κατὰ τὴν ἀπάνθησιν ἢ ὅταν κρειττωθῇ· τὸ δὲ πάθος ἐστὶν ὥστε ἀπορρεῖν τὰς ῥᾶγας καὶ τὰς ἐπιμενούσας εἶναι μικράς. ἔνια δὲ καὶ ῥιγώσαντα νοσεῖ καθάπερ ἡ ἄμπελος· ἀμβλοῦνται γὰρ οἱ ὀφθαλμοὶ τῆς πρωτοτόμου· καὶ πάλιν ὑπερθερμανθέντα· ζητεῖ γὰρ καὶ τούτων τὴν συμμετρίαν ὥσπερ καὶ τῆς τροφῆς. ὅλως δὲ πᾶν τὸ παρὰ φύσιν ἐπικίνδυνον. μεγάλα δὲ 7.
ξυμβάλλεται καὶ τὰ τραύματα καὶ αἱ πληγαὶ τῶν περισκαπτόντων εἰς τὸ μὴ φέρειν τὰς μεταβολὰς ἢ καυμάτων ἢ χειμώνων· ἄσθενες γὰρ ὂν διὰ τὴν ἕλκωσιν καὶ τὸν πόνον εὐχειρωτότατόν ἐστι ταῖς ὑπερβολαῖς. σχεδὸν δὲ ὥς τινες οἴονται τὰ πλεῖστα τῶν νοσημάτων ἀπὸ πληγῆς γίνεται· καὶ γὰρ τὰ ἀστρόβλητα καλούμενα καὶ τὰ σφακελίζοντα διὰ τὸ ἀπὸ ταύτης εἶναι τῶν ῥιζῶν τὸν πόνον. οἴονται δὲ καὶ δύο ταύτας εἶναι μόνας νόσους· οὐ μὴν ἀλλὰ τοῦτό γ' οὐκ ἄγαν ὁμολογούμενόν ἐστι. πάντων δ' ἀσθενέστατον ἡ μηλέα ἡ ᾠρινὴ καὶ τούτων ἡ γλυκεῖα. ἔνιαι δὲ πηρώσεις οὐκ εἰς φθορὰν γίνονται ὅλων ἀλλ' εἰς ἀκαρπίαν· 8.
οἷον ἐάν τις τῆς πίτυος ἀφέλῃ τὸ ἄκρον ἢ τοῦ φοίνικος, ἄκαρπα γίνεσθαι ἄμφω δοκεῖ καὶ οὐχ ὅλως ἀναιρεῖσθαι. γίνονται δὲ νόσοι καὶ τῶν καρπῶν αὐτῶν ἐὰν μὴ κατὰ καιρὸν τὰ πνεύματα καὶ τὰ οὐράνια γένηται· συμβαίνει γὰρ ὁτὲ μὲν ἀποβάλλειν γενομένων ἢ μὴ γενομένων ὑδάτων οἷον τὰς συκᾶς, ὁτὲ δὲ χείρους

λοπάδα] Ald. H. St.; λοπᾶν Sch.; *aulam appellant* G.

6. αὐτῆς] αὐτῇ St.

πρὸς τῷ] Ald. Edd.; πρὸς τὸ U.

ἀστροβολεῖσθαι] Ald. Edd.; ἀστροβολοῦσθαι UMV.

τῇ ἐργασίᾳ] U, de corr. H. St. Sch.; ἡ ἐργασία M Ald.

τρίτον] τρίτου M. — ὅταν i. u. add. Sch.

ῥυὰς] U; ῥοὰς Ald. Edd. o. Hesych.: ψινάδες αἱ ῥυάδες ἄμπελοι.

ψίνεσθαι] Ald. H. Sch.; ψόνασθαι M; ψήνεσθαι St.

ἐπινιφθῇ] ἐπίκνιφθῇ St. Cf. C. 5, 9, 14.

κρειττωθῇ] Ald. Edd.; κρισσωθῇ, derivatum a κρισσὸς κιρσὸς i. e. *varix, venae dilatatio morbosa*, conj. Sch. in Commentario et recepit probante Coraio in Syll. hoc sensu: si vulnere trunco inflicto varix, tuberosa ligni exerescentia, orta sit, quae succum attrahens ne ad fructus abeat prohibet. Mihi tamen hic non de causa fortuita vel violenta sed de naturali sermo esse videtur, cumque C. pl. l. l. eadem verba κρειττωθῇ et κρείττωσις sine varietate extent aliam quandam huic verbo inesse adhuc ignotam significationem putaverim. Propterea nihil mutavi.

τὸ δὲ π.] τοῦτο δὲ π. St.

πρωτοτόμου] πρώτης τόμης St.

ὑπερθερμανθέντα] UMV Sch.; ὑποθερμ. Ald. Edd.; καὶ ἀνάπαλιν St.

συμμετρίαν] συμετρίαν Ald. Cam.

7. ξυμβάλλεται] ξυμβάλεται Ald. sol.

πληγαὶ] πηγαὶ U.

εὐχειρωτότατον] correxi auctore Lobeckio Paralip. p. 38, „illa exaeresis exempla omnia librariorum potius incuriae, quam scriptorum fastidio tribuenda sunt;" εὐχειρότατον Ald. Edd. o.

τὸν πόνον] corr. H. St. Sch. auctore G. *laborant*; τὸν τόπον MV Ald. Ceterum Sch. cum structuram verborum impeditam esse videret conj. σφακελίζοντα ἀπὸ ταύτης εἶναι διὰ τὸν τῶν ῥιζῶν πόνον. Equidem νοσεῖ subaudiendum esse censeo.

ἀσθενέστατον] UMVP mBas. St. Sch. G.; εὐσθενέστατον Ald. H.

8. πηρώσεις] πορώσεις P₂.

ὅλων] dedi de conj.; τινων P₂ Ald. H., om. St., seclusit Sch. Cf. C. 5, 17, 6.

οὐράνια] ὕδατα i. u. add. St.

ὁτὲ δὲ χ.] corr. Sch.; ὁτὲ χείρ. Ald. H.; ἐνίοτε· ὁτὲ δὲ St.

γίνεσθαι σηπομένους καὶ καταπνιγομένους ἢ πάλιν ἀναξηραινομένους παρὰ τὸ δέον. χείριστον δὲ ἐὰν ἀπανθοῦσί τισιν ἐφύσῃ καθάπερ ἐλάᾳ καὶ ἀμπέλῳ·
9. συναπορρεῖ γὰρ ὁ καρπὸς δι' ἀσθένειαν. ἐν Μιλήτῳ δὲ τὰς ἐλάας ὅταν ὦσι περὶ τὸ ἀνθεῖν κάμπαι κατεσθίουσιν, αἱ μὲν τὰ φύλλα αἱ δὲ τὰ ἄνθη, ἕτεραι τῷ γένει, καὶ ψιλοῦσι τὰ δένδρα· γίνονται δὲ ἐὰν ᾖ νότια καὶ εὐδιεινά· ἐὰν δὲ ἐπιλάβῃ καύματα ῥήγνυνται. περὶ δὲ Τάραντα προφαίνουσι μὲν ἀεὶ πολὺν καρπὸν ὑπὸ δὲ τὴν ἄνθησιν τὰ πόλλ' ἀπόλλυται. τὰ μὲν οὖν τοιαῦτα τῶν τό-
10. πων ἴδια. γίνεται δὲ καὶ ἄλλο νόσημα περὶ τὰς ἐλάας ἀράχνιον καλούμενον· φύεται γὰρ τοῦτο καὶ διαφθείρει τὸν καρπόν. ἐπικάει δὲ καὶ καύματά τινα καὶ ἐλάαν καὶ βότρυν καὶ ἄλλους καρπούς. οἱ δὲ καρποὶ σκωληκοῦνταί τινων οἷον ἐλάας ἀπίου μηλέας μεσπίλης ῥόας. καὶ ὅ γε τῆς ἐλάας σκώληξ ἐὰν μὲν ὑπὸ τὸ δέρμα γένηται διαφθείρει τὸν καρπὸν, ἐὰν δὲ τὸν πυρῆνα διαφάγῃ ὠφελεῖ. κωλύεται δὲ ὑπὸ τῷ δέρματι εἶναι ὕδατος ἐπ' ἀρκτούρῳ γενομένου. γίνονται δὲ καὶ ἐν ταῖς ὀρυπεπέσι σκώληκες, αἵπερ καὶ χείρους εἰς τὴν ῥύσιν· ὅλως δὲ καὶ δοκοῦσιν εἶναι σαπραί· διὸ καὶ γίνονται τοῖς νοτίοις καὶ μᾶλλον ἐν τοῖς ἐφύδροις. ἐγγίνονται δὲ καὶ κνῖπες ἔν τισι τῶν δένδρων ὥςπερ ἐν τῇ ὀρυῖ καὶ τῇ συκῇ· καὶ δοκοῦσιν ἐκ τῆς ὑγρότητος συνίστασθαι τῆς ὑπὸ τὸν φλοιὸν συνισταμένης· αὕτη δέ ἐστι γλυκεῖα γευομένοις. γίνονται δὲ καὶ ἐν λαχάνοις τι-
11. σὶν, ἔνθα δὲ κάμπαι διαφερούσης δῆλον ὅτι τῆς ἀρχῆς. καὶ τὰ μὲν νοσήματα σχεδὸν ταῦτα καὶ ἐν τούτοις ἐστίν. ἔνια δὲ πάθη τῶν κατὰ τὰς ὥρας καὶ τῶν κατὰ τοὺς τόπους γινομένων ἀναιρεῖν πέφυκεν ἃ οὐκ ἄν τις εἴποι νόσους, οἷον

σηπομένους — καταπνιγομένους — ἀναξηραινομένους] U, Sch. de conj.; ter — *ας* Ald. Edd.

ἀπανθοῦσι] corr. Sch.; *defloreseentibus* G. et Plin.; *ἐπανθοῦσι* Ald. H.; *ἐπ' ἀνθοῦσι* St.

συναπορρεῖ] U Sch.syll.; *συναπορρέει* M V; *συνάπορρέει* Ald. Edd.

9. *καὶ εὐδιεινά*] Cf. C. 10, 5, 3. *καὶ τὰ εὐδιεινά* Ald. H.; *τὰ* seclusit Sch.; *ἢ καὶ εὐδιαινά* St.

ῥήγνυνται] *ῥήγνυται* P.

ἀεὶ πολὺν καρπόν] UMV Sch.; *πολὺν καρπὸν ἀεὶ* Ald. Edd.

ἄνθησιν] Vix dubito quin hic quoque *ἀπάνθησιν* fuerit scriptum.

10. *ἀράχνιον*] corr. Sch., praeeunte Meurs. Th. p. 91, e C. pl. 5, 10, 2 ubi G. *arachnium*; hic vero idem *arachinium* habet; *ἀρίχνιον* U P$_2$; *ἀρχίχνιον* M V P; *ἀρχίνιον* Ald.; *ἀραχίνιον* H. St.; *ἀρχίνιο* Cam.

φύεται] Sch. recte adnotat h. v. esse vitiosam, sed quod substituit *ἐμφύεται* non satis placet. P$_2$ dat *φυτεύεται*, unde *λυμαίνεται* conjici potest. In explicanda re dissentiunt Spr. et Link.

διαφθείρει] *διαφθείρεται* U.

ἐπικάει] U M V P$_2$ Ald.; *ἐπικαύει* H. St.; *ἐπικαίει* Sch.cont.

ἐλάαν] U; *ἐλαίαν* P$_2$ Ald. Edd. o.

ἐλάας] U; *ἐλαίας* P$_2$ Ald. Edd. o.

ῥόας] *ῥοῦς* Ald.; *ῥοιᾶς* P$_2$ St.

κωλύεται] U, St. Sch. e conj.; *καὶ λύεται* Ald. H.

ἐπ' ἀρκτούρῳ] Sch. e conj., quam firmat e C. pl. 5, 10, 1.; *ὑπ' ἀρκτούρῳ* U; *ἀπ' ἀρκτούρου* Ald. H.; *ἐπ' ἀρκτούρου* St.

ἅπερ καὶ χείρους] U Sch.syll.; *καὶ* om. Ald. H.; *καίπερ χείρους* St.

κνῖπες] Sch ; *κνίπες* Ald. Edd.

τὸν φλοιὸν] *τῶν φλοιῶν* P.

γευομένοις] U P Ald. St. Sch.; *γευομένης* M; *γευόμενης* V; *γευομένοις* Cam. H.

κάμπαι] *καὶ* anteposuit St.

11. *πάθη*] U M Sch.; *πάθη* V; *πάλιν* Ald. Edd.

καὶ τῶν κατὰ τοὺς τόπους] Sch. e Plin. 17, 34, 8 *Quaedam temporum causae aut locorum non proprie dicuntur morbi*; *καὶ τῶν καθ' αὑτὰ* Ald. Edd.

εἴποι] P St. Sch.; *εἴποιεν* U P$_2$; *εἰποίη* M; *εἴποιε* V Ald.; *ἔποι* H.

λέγω τὴν ἔκπηξιν καὶ ὃ καλοῦσί τινες καυθμόν. ἄλλα δὲ παρ' ἑκάστοις πέφυκε πνεύματα ἀπολλύναι καὶ ἀποκάειν· οἷον ἐν Χαλκίδι τῆς Εὐβοίας Ὀλυμπίας ὅταν πνεύσῃ μικρὸν πρὸ τροπῶν ἢ μετὰ τροπὰς χειμερινὰς ψυχρός· ἀποκάει γὰρ τὰ δένδρα καὶ οὕτως αὖα ποιεῖ καὶ ξηρὰ ὡς οὐδ' ἂν ὑφ' ἡλίου καὶ χρόνου πολλοῦ γένοιτ' ἄν δι' ὃ καὶ καλοῦσι καυθμόν· ἐγένετο δὲ πρότερον πολλάκις ἤδη καὶ ἐπ' Ἀρχίππου δι' ἐτῶν τετταράκοντα σφοδρός. πονοῦσι δὲ μάλιστα τῶν τόπων οἱ κοῖλοι καὶ οἱ αὐλῶνες καὶ ὅσοι περὶ τοὺς ποταμοὺς καὶ ἁπλῶς οἱ ἀπνευστότατοι· τῶν δένδρων δὲ μάλιστα συκῆ, δεύτερον δὲ ἐλάα, ἐλάας δὲ μᾶλλον ὁ κότινος ἐπόνησεν ἰσχυρότερος ὤν, ὃ καὶ θαυμαστὸν ἦν· αἱ δὲ ἀμυγδαλαῖ τὸ πάμπαν ἀπαθεῖς· ἀπαθεῖς δὲ καὶ αἱ μηλέαι καὶ αἱ ἄπιοι καὶ αἱ ῥόαι ἐγένοντο· δι' ὃ καὶ τοῦτο ἦν θαυμαστόν. ἀποκάεται δὲ εὐθὺς ἐκ τοῦ στελέχους, καὶ ὅλως δὲ μᾶλλον καὶ πρότερον ὡς εἰπεῖν ἅπτεται τῶν ἄνω. φανερὰ δὲ γίνεται τὰ μὲν ἅμα περὶ τὴν βλάστησιν ἡ δὲ ἐλάα διὰ τὸ ἀείφυλλον ὕστερον· ὅσαι μὲν οὖν ἂν φυλλοβολήσωσιν ἀναβιώσκονται πάλιν, ὅσαι δ' ἂν μὴ τελέως ἀπόλλυνται. παρ' ἐνίοις δέ τινες ἀποκαυθεῖσαι καὶ τῶν φύλλων αὐανθέντων ἀνεβλάστησαν πάλιν ἄνευ τοῦ ἀποβαλεῖν καὶ τὰ φύλλα ἀνεβίωσεν. ἐνιαχοῦ δὲ καὶ πολλάκις τοῦτο συμβαίνει καθάπερ καὶ ἐν Φιλίπποις. τὰ δ' ἐκπαγέντα ὅταν μὴ τελέως ἀπόληται τάχιστα ἀναβλαστάνει ὥστε εὐθὺς τὴν ἄμπελον καρποφορεῖν ὥςπερ ἐν Θετταλίᾳ. ἐν δὲ τῷ Πόντῳ περὶ Παντικάπαιον αἱ μὲν ἐκπήξεις γίνονται διχῶς ὁτὲ μὲν ὑπὸ ψύχους ἐὰν χειμέριον ᾖ τὸ ἔτος, 12. 13.

ἔκπηξιν] corr. Sch.; *ἔκπληξιν* UMVP$_2$ Ald. Edd. Cf. C. 5, 12.

καυθμὸν] Vo. H. St. Sch.; *κλαυθμὸν* U MVP$_2$ Ald. Sic etiam mox.

πνεύματα] *ὡς* add. St.

Χαλκίδι] Ald. Bas. H. St. Sch.; *καλχίδι* P; *καλκίδι* Cam.

Ὀλυμπ.] P$_2$ Ald. H.; *ὁ Ὀλ.* St. Sch.

ψυχρὸς] *ὢν* add. St.

οὐδ' ἂν ὑφ.] UMV Sch.; *οὐδ' ἄρ' ὑφ'* Ald. H. St.; *οὐδ' αὖ σῶα ὑφ'* P$_2$.

πρότερον] *πρότερόν τε* P$_2$.

Ἀρχίππου] UMVP G. St. Sch.; *ἀρχίπου* altero *π* superscripto P$_2$; *ἀρχίπτου* Ald.; *Ἀρχιώπου* H. — Pro *τετταράκοντα* Palmer. Ex. p. 597 *τεττάρων* scribendum esse contendit.

12. *δεύτερον δὲ ἐλάα· ἐλάας δὲ μ.*] sic mBas.Sch.; *δεύτερον δὲ ἐλαίας μ.* Ald. Edd.; *secundo loco olea oleaster magis laboravit* G.

αἱ δὲ ἀμυγ.] UMV Ald. Sch.; *αἱ δὲ* om. H. St., qui *δὲ* ponunt post *ἀμυγδ.*; *ἀμυγδάλαι* Ald.

ἀπαθεῖς· ἀπαθεῖς δὲ καὶ αἱ μ.] Sch.syll.; *ἀπαθεῖς δὲ αἱ μηλέαι* Ald.; *καὶ* ante *αἱ* add. U H. St. Sch.

καὶ αἱ ἄπιοι] om. St.

ῥόαι] Sch.; *ῥοαὶ* Ald.; *ῥοιαὶ* St.

ὡς εἰπεῖν] corr. Scalig. St. Sch.; *ut ita dixerim* G.; *ὡς εἶπον* UM Ald. H.

ἅπτεται τῶν ἄνω] corr. Sch. Cf. C. 5, 12, 5; *ἅπτεται τῶν κάτω* Ald.; *ἅπτεται δὲ τῶν κάτω* UMVP. Hic librorum consensus facit ut de emendatione dubitem et *κάτω* quidem recte habere, pauca vero excidisse suspicer, praesertim cum oratio non satis plena nec continua esse videatur.

φανερὰ] corr. Sch.; *φανερὸν* Ald. Edd. — Dein *ταῖς μὲν ἅμα — τῇ δὲ ἐλαίᾳ* St.

ἐλάα] U; *ἐλαία* Ald. Edd. o.

ἀναβιώσκονται] P H. St. Sch.; *revivi-scunt* G.; *ἀναβιβρώσκονται* UMV Ald.; *ἀναβιώσονται* Vo.

ἀποβαλεῖν] Schn.syll.; *ἀποβάλλειν* Ald. Edd.; *ἀποβαλλεῖν* U; *ἀποβάλειν* M.

13. *ἐκπαγέντα*] Sch.syll.; *ἐκπλαγέντα* U; *ἐκπληγέντα* Ald. Edd. o.

ἀπόληται] UP Sch.syll.; *ἀπόλυται* M; *ἀπόλλυται* Ald. Edd.

Παντικάπαιον] U, de conj. Bod. Sch.; *παντοκαπαῖον* Ald. Edd.

χειμέριον ᾖ τὸ ἔτ.] Ald. Edd.; *χειμερίας τὸ ἔτος* U, *χειμεριὰς τ. ἔ.* MV, unde Sch. in Syll. *χειμάσῃ τὸ ἔτος* correxit.

ὁτὲ δὲ ὑπὸ πάγων ἐάν γε πολὺν χρόνον διαμένωσι. ἀμφότερα δὲ μάλιστα γίγνονται μετὰ τροπὰς μετὰ τὰς τετταράκοντα. γίνονται δὲ οἱ μὲν πάγοι ταῖς αἰθρίαις τὰ δὲ ψύχη μάλιστα ὑφ' ὧν ἡ ἔκπηξις ὅταν αἰθρίας οὔσης αἱ λεπίδες καταφέρωνται. ταῦτα δ' ἐστὶν ὥσπερ τὰ ξύσματα πλὴν πλατότερα, καὶ φερόμενα φανερὰ πεσόντα δὲ οὐ διαμένει· περὶ δὲ τὴν Θρᾴκην ἐκπήγνυνται. ἀλλὰ γὰρ αἱ μὲν νόσοι πόσαι τε καὶ ποῖαι καὶ τίνες γίνονται καὶ πάλιν αἱ δι' ὑπερβολὴν χειμῶνος ἢ καυμάτων φθοραὶ καὶ αἱ διὰ πνευμάτων ψυχρότητα ἢ θερμότητα διὰ τούτων θεωρείσθωσαν· ὧν ἐνίας οὐθὲν ἂν κωλύοι καὶ τοῖς ἀγρίοις εἶναι κοινὰς καὶ κατὰ τὴν ὕλην τῶν δένδρων φθορὰν καὶ ἔτι μᾶλλον κατὰ τὴν τῶν καρπῶν· ὃ καὶ συμβαῖνον ὁρῶμεν· οὐκ εὐκαρπεῖ γὰρ οὐδ' ἐκεῖνα πολλάκις, ἀλλ' οὐχ ὁμοίως οἶμαι παρατετήρηται.

Cap. XV. Λοιπὸν δ' εἰπεῖν ὅσα παραιρουμένων τινῶν μορίων ἀπόλλυται. κοινὴ μὲν δὴ πᾶσι φθορὰ τοῦ φλοιοῦ περιαιρεθέντος κύκλῳ· πᾶν γὰρ ὡς εἰπεῖν οὕτως ἀπόλλυσθαι δοκεῖ πλὴν ἀνδράχλης· καὶ αὕτη δὲ ἐάν τις τὴν σάρκα σφόδρα πιέσῃ καὶ τὸν μέλλοντα βλαστὸν διακόψῃ· πλὴν εἰ ἄρα φελλοῦ· τοῦτον γάρ φασι καὶ εὐσθενεῖν μᾶλλον περιαιρουμένου δῆλον ὅτι τοῦ ἔξω καὶ τοῦ κάτω πρὸς τῇ σαρκὶ καθάπερ καὶ τῆς ἀνδράχλης. ἐπεὶ καὶ τοῦ κεράσου περιαιρεῖται καὶ τῆς ἀμπέλου καὶ τῆς φιλύρας, ἐξ οὗ τὰ σχοινία, καὶ μαλάχης τῶν ἐλαττόνων ἀλλ' οὐχ ὁ κύριος οὐδ' ὁ πρῶτος, ἀλλ' ὁ ἐπιπολῆς ὃς καὶ αὐτόματος ἐνίοτε ἀποπίπτει διὰ τὴν ὑπόφυσιν θατέρου. καὶ γὰρ φλοιορραγῆ ἔνια τῶν δένδρων ἐστὶν ὥσπερ καὶ ἡ ἀνδράχλη καὶ ἡ πλάτανος. ὡς δέ τινες οἴονται

14.

18 H. 16 St.

2.

ἐάν γε π. χρ. διαμένωσι] corr. Schn.syll.; *ἐὰν δὲ π. χρ. διαμένωσι* U; *ἐάν π. χρ. διαμώναί γε* Ald. Edd.

γίγνονται] U; *γίνασθαι* Ald.; *γίνεται* Bas. Edd.

μετὰ — τετταράκοντα] MV Ald.; *μετὰ — τεσσαράκοντα* U; *μετὰ — τετ. ἡμέρας* H. St. Sch.; *περὶ — τετ.* conj. Sch. in Comm Cf. C. 5, 12, 4.

ἔκπηξις] Sch.syll.; *ἔκπληξις* Ald. Edd.

λεπίδες] corr. Scal. H. St. Sch.; *ῥιπίδες* Ald.; *squammulae* G.

Θρᾴκην] Sch. i. u. addit *ὑπὸ πνευμάτων μάλιστα*, quod supplementum ducit e C. pl. 5, 13.

14. *θεωρείσθωσαν*] Ald. Edd.; *τεθεωρήσθωσαν* Sch.

ὧν] corr. Sch.; *ὡς* MV Ald. Edd.

οὐθὲν] U Sch.syll.; *οὐδὲν* Ald. Edd.; *οὐ μὴν* MV.

Cap. XV.

παραιρουμένων] UMV Ald. Sch.syll.; *περαιρ.* H. St.; *περιαιρ.* Sch.cont.

πᾶν] *πάντα* P$_2$, quod praetulerim.

ἀνδράχλη] UMVP$_2$; *ἀνδράχνη* Ald. Edd.

σφόδρα] om. H.

πιέσῃ] M Ald. Edd.; *ποιέσῃ* V.

βλαστὸν] corr. Sch. e versione G. *germenque futurum*; *καρπὸν* U Ald. H. St.

πλὴν — φελλοῦ] *Itaque verius forte excepto subere dixerim* G.

τοῦ κάτω] Sch.; *τοῦ* om. Ald. H.; *καὶ μὴ τοῦ κάτω* St.

τῆς ἀνδράχλης] U; *τῆς ἀνδράχθης* M.; *τὴν ἀνδράχνην* Sch.cont.; *τῆς ἀνδράχνης* Ald. H. St. Sch.syll.

ἐπεί] *ἔτι* St.

καὶ μαλ. τ. ἐλ.] Verte: *atque inter humiliores malvae.* Omnia hic sana sunt.

ὑπόφυσιν] H. St. Sch.; *ἀπόφυσιν* Ald.

2. *ἡ λοιορραγῆ ἔνια*] corr. Moldenh. Tent. p. 117 Sch.; *ἡ λοιορραγία μία* UMV G. Havn. 1; Scal. et omisso *μία* St.; *φυλλορρογία μία* Ald.; *ἡ υλλοραγία* mB. *φυλλορραγία* H.

ἡ ἀνδράχλη] *ὁ ἄνδραχλος* UMV Ald.; *ὁ ἄνδραχος* H.; *τῆς ἀνδράχνης* mBas.; *τῆς ἀνδράχνας* St.; *ἡ ἀνδράχνη* Sch.

καὶ ἡ πλάτανος] Ald. H. Sch.; *καὶ πλατάνου* mBas.; *καὶ τοῦ πλατάνου* St.

πάλιν ὑποφύεται νέος· ὁ δὲ ἔξωθεν ἀποξηραίνεται καὶ ῥήγνυται καὶ αὐτόματος ἀποπίπτει πολλῶν, ἀλλ' οὐχ ὁμοίως ἐπίδηλος. φθείρονται μὲν οὖν ὡς οἴονται πάντα περιαιρουμένου, διαφέρει δὲ τῷ θᾶττον καὶ βραδύτερον καὶ μᾶλλον καὶ ἧττον. ἔνια γὰρ πλείω χρόνον διαμένει καθάπερ συκῆ καὶ φλυρα καὶ ὀρῦς· οἱ δὲ καὶ ζῆν φασι ταῦτα, ζῆν δὲ καὶ πτελέαν καὶ φοίνικα· τῆς δὲ φιλύρας καὶ συμφύεσθαι τὸν φλοιὸν πλὴν μικροῦ· τῶν δὲ ἄλλων οἷον πώρουσθαι καὶ ἰδίαν τινὰ φύσιν ἔχειν. βοηθεῖν δὲ πειρῶνται διαπλάττοντες πηλῷ καὶ περιδοῦντες φλοιοῖς καὶ καλάμοις καὶ τοῖς τοιούτοις ὅπως μὴ ψύχηται μηδ' ἀποξηραίνηται. καὶ ἤδη φασί που ἀναφῦναι καθάπερ καὶ ἐν Ἡρακλείᾳ τῇ τραχινίᾳ τὰς συκᾶς. δεῖ δὲ ἅμα τῇ τῆς χώρας ἀρετῇ καὶ τῇ τοῦ ἀέρος κράσει καὶ τὰ ἐπιγιγνόμενα 3.
τοιαῦτα εἶναι· χειμώνων γὰρ ἢ καυμάτων ἐπιγινομένων σφοδρῶν εὐθὺς ἀπόλλυνται· διαφέρουσι δὲ καὶ αἱ ὧραι· περὶ γὰρ τὴν βλάστησιν ἐλάτης ἢ πεύκης ὅτε καὶ λοπῶσι τοῦ Θαργηλιῶνος ἢ Σκιροφοριῶνος ἄν τις περιέλῃ παραχρῆμα ἀπόλλυται. τοῦ δὲ χειμῶνος πλείω χρόνον ἀντέχει καὶ ἔτι μᾶλλον τὰ ἰσχυρότατα καθάπερ πρῖνος καὶ ὀρῦς· χρονιωτέρα γὰρ ἡ τούτων φθορά. δεῖ δὲ καὶ 4.
τὴν περιαίρεσιν ἔχειν τι πλάτος, πάντων μὲν μάλιστα δὲ τῶν ἰσχυροτάτων· ἐπεὶ ἄν τις μικρὰν παντελῶς ποιήσῃ οὐθὲν ἄτοπον τὸ μὴ ἀπόλλυσθαι· καίτοι φασί γέ τινες, ἐὰν ὁποσονοῦν, συμφθείρεσθαι πάντως· ἀλλ' ἐπὶ τῶν ἀσθενεστέρων τοῦτ' εἰκός. ἔνια γὰρ κἂν μὴ κύκλῳ περιαιρεθῇ φθείρεσθαί φασιν ἃ καὶ

πάλιν ὑποφύεται νέος] sic correxi; *πάλιν ὑποφύει νέος* Ald. H. St.; *οἴονται . . . ὑποφύεται* [*ὁ*] *νέος* Sch. qui membrum aliquod deesse statuit. Equidem *ὑποφύει* in *ὑποφύεται* mutato orationem sanam praestiterim, hoc sensu: *ut vero nonnulli putant, in multis cortex novus subnascitur, exterior vero exarescit disrumpitur et sponte decidit, sed non tam manifesto quam in illis.*

συκῆ] U Sch.syll.; *συκαῖ* Ald. Edd.

οἱ δὲ καῖ ζῆν — φύσιν ἔχειν] Egregium hoc auctarium praebuit U, quod tamen e scriptura Aldinae, partim Schneiderum secutus, parvo complemento auxi. *οἱ δὲ καὶ ζῆν φασί ποτε ταῦτα καὶ οὐκ ἀπόλλυσθαι τὸν φλοιὸν οἷον πώρουσθαι ἰδίαν τ. φ. ἔ.* Ald. His ante *οἷον* interseruerat *ἀλλά*, ac ante *ἰδίαν καὶ* H., utroque loco *καὶ* Sch. St. *ἀλλὰ* posuit post *ἀπόλλυσθαι*. Quibuscum feci *καὶ* inserens ante *ἰδίαν* ab U quoque omissum. U: *οἱ δὲ καὶ ζῆν δὲ καὶ πτελίαν καὶ φύνικα· τῆς δὲ — πορουῦσθαι ἰδίαν τ. φ. ἔ.*, reliqua ut supra exscripta sunt. Sch. in Syll. correxit: *οἱ δὲ καὶ ζῆν φασι, ζῆν δὲ καὶ πτελέαν*, quem sequor addito vero etiam *ταῦτα*.

πηλῷ] *φλοιῷ*, superscriptum *πηλῷ* P$_2$.

καὶ τοῖς τοιοῦτοις] P$_2$ Ald. Edd. o.; *τοῖς* om. U.

ἀναφῦναι] corr. Scal. St. Sch.; *restitui regerminareque* G.: *φῦναι* Ald. H.

τραχινίᾳ] Sch.; *τραχινείαι* U; *τραχινεῖ* M; *τραχιανῇ* Ald. H. St.; *Trachianam* G.

3. *χώρας*] H. St. Sch.; *virtutem soli* G.; *χερείας* Ald.; *χειρίας* V; *χειρειας* M, in M$_2$ correctum in *χρείας*.

καὶ τὰ] UMV Sch.; *καὶ* om. Ald. Edd.

ἐπιγιγνόμενα] U Sch.syll.; *ἐπιγινόμενα* MV Sch.cont.; *ἐπιγενόμενα* Ald. H. St.

ἐπιγινομένων] *ἐπιγενομένων* V Sch.

ἢ πεύκης] UP$_2$ Sch.syll.; *καὶ πεύκης* Ald. Edd.

λοπῶσι] UMVP$_2$ Ald. Sch.; *λιπῶσι* H. St.; *cum cortice turgido sunt* G.

Σκιροφοριῶνος] P Sch.; *σκιροφ.* Ald.

4. *μικρὰν*] Vo, cod. Cas. Sch.; om. Ald. H; *si angustam ad modum feceris* G.; *μὴ παντελῶς ποιήσῃ λεπτήν* St.

ὁποσονοῦν] corr. Sch.; *etiamsi quantumlibet auferatur* G.; *ὁπωσοῦν* Ald. Edd. Deinceps *ἀφαιρεθῇ* addunt auctore Gaza H. St. Sch.

συμφθείρεσθαι] *συμφέρεσθαι* U; *συμφείρεσθαι* P.

λυπρὰν ἔχει χώραν καὶ ἄτροφον. αὕτη μὲν δὴ καθάπερ εἴρηται κοινὴ φθορὰ πάντων.

1911. Cap. XVI. Ἡν δὲ καλοῦσιν ἐπικοπὴν τῶν δένδρων, μόνον πεύκης ἐλάτης πίτυος φοίνικος, οἱ δὲ καὶ κέδρου καὶ κυπαρίττου φασί. ταῦτα γὰρ ἐὰν περιαιρεθῇ τὴν κόμην ἄνωθεν καὶ ἐπικοπῇ τὸ ἄκρον φθείρεται πάντα καὶ οὐ βλαστάνει, καθάπερ οὐδ' ἐπικαυθέντα ἢ πάντα ἢ ἔνια. τὰ δ' ἄλλα πάντα καὶ περικοπέντα βλαστάνει. καὶ ἔνιά γε καλλίω γίνεται καθάπερ ἡ ἐλάα. διαφθείρεται δὲ τὰ πολλὰ κἂν σχισθῇ τὸ στέλεχος· οὐδὲν γὰρ ὑπομένειν δοκεῖ πλὴν ἀμπέλου καὶ συκῆς καὶ ῥόας καὶ μηλέας· ἔνια δὲ κἂν ἑλκωθῇ καὶ μεῖζον καὶ βαθύτερον ἀπόλλυται. τὰ δ' οὐδὲν πάσχει καθάπερ ἡ πεύκη δαδουργουμένη καὶ ἐξ ὧν δὴ τὰς ῥητίνας συλλέγουσιν οἷον ἐλάτης τερμίνθου· καὶ γὰρ δὴ τούτων
2. εἰς βάθος ἡ τρῶσις καὶ ἕλκωσις. καὶ γὰρ ἐξ ἀφόρων φοράδες γίνονται καὶ ἐξ ὀλιγοφόρων πολυφόροι. τὰ δὲ καὶ πελέκησιν ὑπομένει καὶ ὀρθὰ καὶ πεσόντα ὑπὸ πνεύματος ὥστε πάλιν ἀνίστασθαι καὶ ζῆν καὶ βλαστάνειν οἷον ἰτέα καὶ πλάτανος. ὅπερ συνέβη καὶ ἐν Ἀντάνδρῳ καὶ ἐν Φιλίπποις· ἐκπεσούσης γὰρ ὡς ἀπέκοψαν τοὺς ἀκρεμόνας καὶ ἐπελέκησαν ἀνεφύη νύκτωρ ἡ πλάτανος κουφισθεῖσα τοῦ βάρους καὶ ἀνεβίω καὶ ὁ φλοιὸς περιέφυ πάλιν. παραπεπελεκημένη δ' ἐτύγχανεν ἐκ τῶν δύο μερῶν· ἦν δὲ τὸ δένδρον μέγα μῆκος μὲν μεῖζον
3. ἢ δεκάπηχυ πάχος δ' ὥστε μὴ ῥᾳδίως ἂν περιλαβεῖν τέτταρας ἄνδρας. ἡ δὲ ἐν Φιλίπποις ἰτέα περιεκόπη μὲν τοὺς ἀκρεμόνας οὐ μὴν παρεπελεκήθη. μάντις δέ τις ἔπεισεν αὐτοὺς θυσίαν τε ποιεῖσθαι καὶ τηρεῖν τὸ δένδρον ὡς σημεῖον ἀγαθὸν γεγονός. ἀνέστη δὲ καὶ ἐν Σταγείροις ἐν τῷ μουσείῳ λεύκη τις
4. ἐκπεσοῦσα. τῆς δὲ μήτρας ἐξαιρουμένης οὐθὲν ὡς εἰπεῖν φθείρεται δένδρον. σημεῖον δὲ ὅτι πολλὰ κοῖλα τῶν μέγεθος ἐχόντων δένδρων ἐστίν. οἱ δὲ περὶ Ἀρκαδίαν φασὶ μέχρι τινὸς μὲν ζῆν τὸ δένδρον, τελέως δὲ ἐξ ἅπαντος ἐξαιρε-
5. θείσης καὶ πεύκην φθείρεσθαι καὶ ἐλάτην καὶ ἄλλο πᾶν. κοινὴ δὲ φθορὰ πάν-

ἴχει] H. St. Sch.; ἴχειν Ald. Sch. voluit ἄν—ἴχῃ dare.

Cap. XVI.

ἦν δὲ] mBas. St. Sch.; ἣν δὴ Ald. H.

κόμην ἄνωθεν καὶ ἐπικοπῇ] sic correxi verborum ἄνωθεν et καὶ sede mutata; κόμην καὶ ἄνωθεν ἐπικοπῇ Ald. Edd., ubi ἄνωθεν abundabat. καὶ ἄνωθεν ἐπισκοπεῖ P₂.

περικοπέντα] *praecisa* G.; sed valet *circumcisa* i. e. praecisa undique.

ἔνιά γε] USch. e conj.; ἔνια τε MV; ἔνιά καὶ Ald. Edd.

σχισθῇ] Ald. Edd.; ἰσχίσθη UMVP₂.

ῥόας] Sch.; ῥοᾶς Ald. P₂.

ἔνια δὲ] ἔνια μὲν St.

δᾳδουργουμένη] δαιδουργουμένη U; δᾳδουργομένη Cam. H.

ἐλάτης τερμίνθου] UMV St. Sch.; ἐλάτας τερμίνθους Ald. H.

2. φοράδες] corr. Sch.; φορίδες Ald. Edd. Schn. hunc locum mutilum esse et γὰρ parum scite interpositum ad lacunae indicium obliterandum esse judicat.

πελέκησιν] H. St. Sch.; πελέκεσιν UMV P₂ Ald.

πνεύματος] P₂ St. Sch.; τοῦ πνεύματος Ald. H.

Ἀντάνδρῳ] Ἀνταν̃δραι U.

ἡ πλάτανος] St. Sch.; ἡ om. P₂ Ald. H.

ἐκ τ. δ. μ.] ἐν τ. δ. μ. H.

3. ἰτέα περιεκόπη μὲν] ἰτέα ἀνέστη περιεκοπήθη μὲν St.

4. τινὸς μὲν ζῆν τὸ δένδρον] dedi de conj.; τινος ἐὰν τοῦ δένδρου, ἐὰν e correctione, U; τινος ἐξηρέθη τοῦ δ. MV Ald.; τ. ἐὰν ἐξηρέθη τοῦ δ. ζῆν H.; τ. ἐὰν ἐξηρέθη ἡ μήτρα τοῦ δ. ζῆν St.; τ. ἐὰν ἐξαιρεθῇ τοῦ δ. ζῆν Sch.

των κἂν αἱ ῥίζαι περικοπῶσιν ἢ πᾶσαι ἢ αἱ πλεῖσται καὶ μέγισται καὶ κυριώταται τοῦ ζῆν. αὗται μὲν οὖν ἐξ ἀφαιρέσεως. ἡ δ' ὑπὸ τοῦ ἐλαίου προσθέσει τινὶ μᾶλλον ἢ ἀφαιρέσει· πολέμιον γὰρ δὴ καὶ τοῦτο πᾶσι· καὶ ἔλαιον ἐπιχέουσι τοῖς ὑπολείμμασι τῶν ῥιζῶν. ἰσχύει δὲ μᾶλλον τὸ ἔλαιον ἐν τοῖς νέοις καὶ ἄρτι φυομένοις· ἀσθενέστερα γὰρ δι' ὃ καὶ ἅπτεσθαι κωλύουσι. φθοραὶ δὲ καὶ ὑπ' ἀλλήλων εἰσὶ τῷ παραιρεῖσθαι τὰς τροφὰς καὶ ἐν τοῖς ἄλλοις ἐμποδίζειν. χαλεπὸς δ' ἐστὶν ὁ κιττὸς παραφυόμενος, χαλεπὸς δὲ καὶ ὁ κύτισος· ἀπόλλυσι γὰρ πάνθ' ὡς εἰπεῖν· ἰσχυρότερον δὲ τούτου τὸ ἅλιμον· ἀπόλλυσι γὰρ τὸν κύτισον. ἔνια δὲ οὐ φθείρει μὲν χείρω δὲ ποιεῖ ταῖς δυνάμεσι τῶν χυλῶν 6.
καὶ τῶν ὀσμῶν οἷον ἡ ῥάφανος καὶ ἡ δάφνη τὴν ἄμπελον. ὀσφραίνεσθαι γάρ φασι καὶ ἔλκειν. δι' ὃ καὶ ὅταν ὁ βλαστὸς πλησίον γένηται πάλιν ἀναστρέφειν καὶ ἐκχωρεῖν ὡς πολεμίας οὔσης τῆς ὀσμῆς. Ἀνδροχύδης δὲ καὶ παραδείγματι τούτῳ κατεχρήσατο πρὸς τὴν βοήθειαν τὴν ἀπὸ τῆς ῥαφάνου γινομένην πρὸς τὸν οἶνον ὡς ἐξελαύνουσαν τὴν μέθην· φεύγειν γὰρ δὴ καὶ ζῶσαν τὴν ἄμπελον τὴν ὀσμήν. αἱ μὲν οὖν φθοραὶ πῶς τε γίνονται καὶ πόσαι καὶ ποσαχῶς φανερὸν ἐκ τῶν προειρημένων.

5. *πᾶσι· καὶ ἔλαιον ἐπιχέουσι*] Sch.; *πᾶσιν ἔλαιον ἐπιχεύουσιν* UMPs Ald.; *πᾶσι· ἔλαιον γὰρ ἐπ.* mBas.; *πᾶσιν δ' ἐλ. ἐπ.* H. Respicit haec Plut. Symp. II., p. 640 et Quae. Nat. p. 911, d.

ὑπολείμμασι] *ὑπολείμασι* Ald.

χαλεπὸς δ' ἐστὶν] dedi de corr.; *χαλεπὸς δὲ καὶ* Ald. Edd. o. Sch. maluit *οἷον ὁ κιττὸς χαλεπὸς παρ.*

ἀπόλλυσι γὰρ π.] H. St. Sch.; *ἀπολαύσει* U; *ἀπολέσει* V Ald.

6. *χυλῶν*] Ps Ald. H. St.; *χυμῶν* Sch.

ὁ βλαστὸς πλησίον γ.] corr. Dalec. H. pl. p. 529. St. Sch.; *ὁ πλησίον βλαστὸς γ.* Ald. H.; *germen cum illis propinquum fuerit* G.

ἐκχωρεῖν] dedi de conj.; *εὐφορεῖν* U; *ἀφορεῖν* Ald. Edd. o.; *recedere atque averti* G., quem *ἀφορᾶν* legisse suspicatur Sch.

Ἀνδροχύδης δὲ] U, Sch. syll.; *Ἀ. γὰρ δ* Ald. Edd. *ἀνδροχί δὲ* Ps.

γινομένην] Ald. Edd.; *γενομένην* UPsP

γὰρ δὴ καὶ] corr. Dalec. H. St. Sch. e vers. Gazae.; *γὰρ δεῖ καὶ* Ald.

πῶς τε] *πῶς γε* V.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Ε.

Κεφ. I. Περὶ δὲ τῆς ὕλης, ποία τέ ἐστιν ἑκάστη καὶ πόθ' ὡραία τέμνεσθαι καὶ πρὸς ποῖα τῶν ἔργων χρησίμη καὶ ποία δύσεργος ἢ εὔεργος καὶ εἴ τι ἄλλο τῆς τοιαύτης ἱστορίας ἔχεται, πειρατέον ὁμοίως εἰπεῖν. ὡραῖα δὴ τέμνεσθαι τῶν ξύλων τὰ μὲν οὖν στρογγύλα καὶ ὅσα πρὸς φλοϊσμὸν ὅταν βλαστάνῃ· τότε γὰρ εὐπεριαίρετος ὁ φλοιός, ὃ δὴ καλοῦσι λοπᾶν, διὰ τὴν ὑγρότητα τὴν ὑπογινομένην αὐτῷ. μετὰ δὲ ταῦτα δυσπεριαίρετος καὶ τὸ ξύλον μέλαν γίνεται καὶ δυσειδές. τὰ δὲ τετράγωνα μετὰ τὸν λοπητόν· ἀφαιρεῖται γὰρ ἡ πελέκησις τὴν δυσείδειαν. ὅλως πᾶν πρὸς ἰσχὺν ὡραιότατον οὐ μόνον πεπαυμένον τῆς βλαστήσεως ἀλλ' ἔτι μᾶλλον ἐκπεπᾶναν τὸν καρπόν. ἀλλὰ διὰ τὸν φλοϊσμὸν ἀώροις οὖσιν ὡραίοις συμβαίνει γίνεσθαι τοῖς στρογγύλοις ὥστε ἐναντίαι αἱ ὧραι κατὰ συμβεβηκός. εὐχρούστερα δὲ τὰ ἐλάτινα γίνεται κατὰ τὸν πρῶτον
2 λοπητόν. ἐπεὶ δὲ μάλιστ' ἢ μόνον περιαιροῦσι τὸν φλοιὸν ἐλάτης πεύκης πίτυος, ταῦτα μὲν τέμνεται τοῦ ἦρος· τότε γὰρ ἡ βλάστησις· τὰ δὲ ἄλλα ὁτὲ μὲν μετὰ πυροτομίαν ὁτὲ δὲ μετὰ τρυγητὸν καὶ ἀρκτοῦρον οἷον ἀρία πτελέα σφέν-

Κεφ. I.

καὶ πόθ'] *καὶ* om. H. St.

τῶν ξύλων τὰ μὲν οὖν στρ.] UMV Sch.; *ξύλα τὰ μὲν στρ.* Ald. H. St.

φλοϊσμὸν] Sch.; *φλοισμὸν* Ald. Edd.; *φλοισμὸν* M.

λοπᾶν] mBas. Sch.; *turgere* G.; *λοπίαν* UMV Ald.; *λιπᾶν* H. St. Vide ad 3, 5, 1.

δυσπεριαίρετος] dedi de conj. Schneideri; *δυσπεριχάθαρτος* Ald. Edd. o.; *δυσπεριχαθαίρετος* conj. H. Steph. Thes.

τὸν λοπητὸν] UM mBas. Sch.; *post turgorem* G.; *τῶν λοπητῶν* V Ald.; *τῶν λοπετῶν* P; *τὸν κοπητὸν* mBas.; *τὸν λιπητὸν* H. St.

δυσειδειαν] U sine accentu; *δυσειδίαν* Ald. Edd. o.

ὅλως πᾶν] UMV; *ὅλως δὲ πᾶν* Ald. Edd. o. — Post *πᾶν* addit *ξύλον* i. u. St.

ἐκπεπᾶναν] U Sch.syll.: *ἐκπεπάνον* MV; *ἐκπεπαῖνον* Ald. H. St.; *cum fructum percoxerit* G.; *ἐκπεπάναν* Sch.cont.

ἀώροις οὖσιν] *ἀωρίοις ὦσιν* V.

λοπητὸν] UMV Sch.; *turgorem* G.; *κοπητὸν* Ald. H.; *λιπητὸν* St.

2. *ἐπεὶ δὲ μαλ.*] Ald. Edd. o.; *ἐπεὶ καὶ μαλ.* MV.

μάλιστ' ἢ μόνον] dedi auctore Sch., qui *μάλιστα ἢ μόνον* scripsit; *ἢ* om. Ald. Edd.; *μάλιστα ἢ μόνον οὐ περ.* St. *Nam et corticem abietis tamen et pini et laricis potissimo detrahunt* G.

πεύκης] UP G. mBas. Sch. i. u.; om. Ald. H. St.

ὁτὲ μὲν — ὁτὲ δὲ] Ald. Edd. o.; *ὅταν μὲν — ὅταν δὲ* UMV.

δαμνος μελία ζυγία ὀξύα φίλυρα φηγός τε καὶ ὅλως ὅσα καταρύττεται· ὀρῦς δὲ ὀψιαίτατα κατὰ χειμῶνα μετὰ τὸ μετόπωρον· ἐὰν δὲ ὑπὸ τὸν λοπητὸν τιμηθῇ σήπεται τάχιστα ὡς εἰπεῖν, ἐάν τε ἔμφλοιος ἐάν τε ἄφλοιος· καὶ μάλιστα μὲν τὰ ἐν τῷ πρώτῳ λοπητῷ, δεύτερα δὲ τὰ ἐν τῷ δευτέρῳ, τρίτα δὲ καὶ ἥκιστα τὰ ἐν τῷ τρίτῳ· τὰ δὲ μετὰ τὴν πέπανσιν τῶν καρπῶν ἄβρωτα διαμένει κἂν ἀλόπιστα ᾖ· πλὴν ὑπὸ τὸν φλοιὸν ὑποδυόμενοι σκώληκες ἐπιπολῆς ἐγγράφουσι τὸ στέλεχος, οἷς καὶ σφραγῖσι χρῶνταί τινες. ὡραῖον δὲ τιμηθὲν τὸ ὀρύϊνον ἀσαπές τε καὶ ἀθριπηδέστατον γίνεται καὶ σκληρὸν καὶ πυκνὸν ὥσπερ κέρας· πᾶν γὰρ ὅμοιόν ἐστιν ἐγκαρδίῳ· πλὴν τό γε τῆς ἁλιφλοίου καὶ τότε φαῦλον. συμβαίνει 3.
δὲ καὶ τοῦτο ὑπεναντίον ὅταν τε κατὰ τὴν βλάστησιν τέμνωνται καὶ ὅταν μετὰ τοὺς καρπούς· τότε μὲν γὰρ ἀναξηραίνεται τὰ στελέχη καὶ οὐ παραβλαστάνει τὰ δένδρα· μετὰ δὲ τοὺς καρποὺς παραβλαστάνει. δυστομώτερα δὲ διὰ τὴν σκληρότητα κατὰ ταύτην τὴν ὥραν. κελεύουσι δὲ καὶ δεδυκυίας τῆς σελήνης τέμνειν ὡς σκληροτέρων καὶ ἀσαπεστέρων γινομένων. ἐπεὶ δὲ αἱ πέψεις τῶν καρπῶν παραλλάττουσι δῆλον ὅτι καὶ αἱ ἀκμαὶ πρὸς τὴν τομὴν παραλλάττουσιν· ἀεὶ γὰρ ὀψιαίτεραι τῶν ὀψικαρποτέρων. διὸ καὶ πειρῶνταί τινες ὁρίζειν καθ' 4.
ἑκάστην· οἷον πεύκην μὲν καὶ ἐλάτην ὅταν ὑπολοπῶσιν· ἔτι δὲ ὀξύαν καὶ φίλυραν καὶ σφένδαμνον καὶ ζυγίαν τῆς ὀπώρας· ὀρῦν δὲ ὥσπερ εἴρηται μετὰ τὸ φθινόπωρον. φασὶ δέ τινες ταύτην ὡραίαν εἶναι τοῦ ἦρος ὅταν γε ἔχῃ τὴν καλουμένην κάχρυν, καὶ τὴν πίτυν ὅταν ὁ βότρυς αὐτῆς ἀνθῇ. ποῖα μὲν οὖν ὡραῖα καθ' ἕκαστον χρόνον οὕτω διαιροῦνται. πάντων δὲ δῆλον ὅτι βελτίω τὰ τῶν ἀκμαζόντων δένδρων ἢ τῶν νέων κομιδῇ καὶ γεγηρακότων· τὰ μὲν γὰρ

σφένδαμνος] *σφένδαμνον* P.

ὀξύα] *ὀξία* P.

ηγός τε] conj. Scalig. St. Schn.; *πηγός τε* U; *φηγόσιν τε* V; *πηγόσιν τε* M Ald.; omisit G.; *ηγίς τε* H. Cf. 3, 3, 1. Schneid. in Syll. *πηγός τε* ex Urb. scribi jubet; nomen vero non explicuit. — Dein *ὅλος* St.

κατορύττεται] corr. Sch.; *ὀρύττεται* Ald. Edd.; *quae aptae obrui sunt* G. Scalig. comparat *τὰ κατὰ γῆς κατορυττόμενα* cap. 7, 5; vide quoque c. 4, 3.

ὀρῦς] corr. Sch.; *ὀρυὸς* Ald. Edd.

τὸν λοπητὸν] UM Sch.; *τῶν λοπητῶν* V; *τὸν λοπετὸν* Ald.; *λιπητὸν* H. St.

σήπεται] *σήπτεται* UM.

λοπητῷ] UMV Ald. Sch.; *λιπητῷ* H. St.; *λοπετῷ* P.

καὶ ἥκιστα] U Sch. syll.; om. Ald. Edd. o. *ἀλόπιστα*] *ἀλλόπιστα* P.

καὶ σκληρὸν] *καὶ* om. H.; *σκληρὸν δὲ* St.

τό γε τῆς] Ald. Edd.; *τό τε τῆς* U; *τότε τῆς* V.

καὶ τότε] *καὶ γὰρ τόγε* St. puncto anteposito.

3. *ὑπεναντίον*] V; *ὑπεναντίως* Ald. Edd. o. *κατὰ*] *μετὰ* P.

τέμνωνται] A. et Edd. praeter mBas. quae *τέμνονται* dat.

τότε μὲν γὰρ ἀναξ.] P, Sch. de conj.; *ὅτε μὲν γὰρ ἀναξ.* UMV; *τότε μὲν ἀναξ.* Ald. H. St.

οὐ παραβλαστάνει] Ald. Edd.; *οὐ βλαστάνει* M.

κατὰ ταύτην] corr. St.; *καὶ τ.* Ald. H.; *καὶ* uncis seclusit Sch.

4. *δι' ὃ καὶ*] U, Sch. e conject.; *δι' ὧν καὶ* Ald. H. St.

ἑκάστην] V Sch. syll.; *ἕκαστον* Ald. Edd.; *ἕκαστον* [*χρόνον*] Sch. cont. Mihi non *ὥραν*, multo minus *ἀκμὴν* ut Schn. vult, sed *ὕλην* supplendum esse videtur.

ὑπολοπῶσιν] corr. Sch. syll.; *εἰ πελειν εἶαι* U; *ὑπέλειπεισιν* MV; *ὑπέλινῶσιν* Ald.; *ὑπολιπῶσιν* H. St. Sch. — Paulo ante *πεύκην* UP mBas., G. St. Sch.; *λεύκην* Ald. H.

τῆς ὀπ.] *τε ὀπ.* MV.

ταύτην ὡρ.] em. St. Sch.; *καὶ τὴν ὡ.* Ald. H.

αὐτῆς ἀνθῇ] U Ald. Sch.; *αὐτῆς* om. H. St.

καὶ γεγηρ.] Ald. H. St.; *ἢ γεγηρ.* Sch. de conj.

5. ὑδατώδη τὰ δὲ γειώδη. πλείστας δὲ χρείας καὶ μεγίστας ἡ ἐλάτη καὶ ἡ πεύκη
2 H. St. παρέχονται καὶ ταῦτα κάλλιστα καὶ μέγιστα τῶν ξύλων ἐστί. διαφέρουσι δὲ ἀλλήλων ἐν πολλοῖς· ἡ μὲν γὰρ πεύκη σαρκωδεστέρα τε καὶ ὀλιγόϊνος· ἡ δ' ἐλάτη καὶ πολύϊνος καὶ ἄσαρκος, ὥστε ἐναντίως ἑκάτερον ἔχειν τῶν μερῶν, τὰς μὲν ἶνας ἰσχυρὰς τὴν δὲ σάρκα μαλακὴν καὶ μανήν· δι' ὃ τὸ μὲν βάρυ τὸ δὲ κοῦ-
6. φον· τὸ μὲν γὰρ ἔνδαδον τὸ δὲ ἄδαδον ᾖ καὶ λευκότερον. ἔχει δὲ καὶ ὄζους πλείους μὲν ἡ πεύκη σκληροτέρους δὲ ἡ ἐλάτη πολλῷ, μᾶλλον δὲ καὶ σκληροτάτους πάντων· ἄμφω δὲ πυκνοὺς καὶ κερατώδεις καὶ τῷ χρώματι ξανθοὺς καὶ δαδώδεις. ὅταν δὲ τμηθῶσι ῥεῖ καὶ ἐκ τῶν τῆς ἐλάτης καὶ ἐκ τῶν τῆς πεύκης ἐπὶ πολὺν χρόνον ὑγρότης καὶ μᾶλλον ἐκ τῶν τῆς ἐλάτης. ἔστι δὲ καὶ πολύλοπον ἡ ἐλάτη καθάπερ καὶ τὸ κρόμυον· ἀεὶ γὰρ ἔχει τινὰ ὑποκάτω τοῦ φαινομένου
7. καὶ ἐκ τοιούτων ἡ ὅλη. δι' ὃ καὶ τὰς κώπας ξύοντες ἀφαιρεῖν πειρῶνται καθ' ἕνα καὶ ὁμαλῶς· ἐὰν γὰρ οὕτως ἀφαιρῶσιν ἰσχυρὸς ὁ κωπεών, ἐὰν δὲ παραλλάξωσι καὶ μὴ κατασπῶσιν ὁμοίως, ἀσθενής· πληγὴ γὰρ οὕτως ἐκείνως δ' ἀφαίρεσις. ἔστι δὲ καὶ μακρότατον ἡ ἐλάτη καὶ ὀρθοφυέστατον. δι' ὃ καὶ τὰς κεραίας καὶ τοὺς ἱστοὺς ἐκ ταύτης ποιοῦσιν. ἔχει δὲ καὶ τὰς φλέβας καὶ τὰς
8. ἶνας εὐγενεστάτας πάντων. αὐξάνεται δὲ πρῶτον εἰς μῆκος ἄχρι οὗ δὴ ἐφίκηται τοῦ ἡλίου· καὶ οὔτε ὄζος οὐδεὶς οὔτε παραβλάστησις οὔτε πάχος γίνεται· μετὰ δὲ ταῦτα εἰς βάθος καὶ πάχος ὅταν αἱ τῶν ὄζων ἐκφύσεις καὶ παραβλαστήσεις. ταῦτα μὲν οὖν ἴδια τῆς ἐλάτης, τὰ δὲ κοινὰ καὶ πεύκης καὶ ἐλά-
9. της καὶ τῶν ἄλλων. ἔστι γὰρ ἡ μὲν τετράξοος ἡ δὲ δίξοος. καλοῦσι δὲ

5. *ταῦτα καλλ.*] corr. Sch.; *harum* G.; *αὐτὰ* Ald. H. St.

ὀλιγόϊνος] Ald. Edd. o.; *ὀλίγονος* UMV; *ὀλιγόγονος* P. Praeterea *τε* om. MV.

πολύϊνος] *πολύγονος* P.

ἔχειν] MV; *ἔχει* Ald. Edd. o.

τὰς μὲν ἶνας] UMV; *τὰς μὲν γὰρ ἶνας* Ald. Edd. o.

τὸ μὲν γὰρ ἔνδαδον] corr. St. et Sch. cum G. *altera enim teda referta est*; *ἔνδαδον γὰρ* Ald. H.

ᾖ καὶ λ.] P, Sch. de conj.; *ἢ καὶ λ.* Ald. H. St.; *atque ob id etiam est albior* G.

6. *πλείους*] bis scriptum est in V.

ὑγρότης] Ald. H.; *ἡ ὑγρ.* St. Sch.

κρόμυον] Ald.; *κρόμμυον* P$_2$.

6. *καὶ τὰς κώπας*] UMV Ald. Sch.syll.; *καὶ ὅτι τ. κ.* H. St.; *καὶ οἱ τοὺς κωπέας.* Sch.

κωπεών] P, Sch. de conj.; *κοπέων* Ald. Edd.

κατασπῶσιν] dedi de conjectura; *κατὰ πᾶσιν* UMV; *κατὰ πάντα* Ald. Edd. o.

ἀσθενής] UMVP Scal. Sch.; *infirmus* G.; *εὐσθενής* Ald. H. St.

εὐγενεστάτας] Ald. Edd., quod absque dubio vitiosum. Coraius conj. *εὐτενεστάτας*. Mihi *ἐμφανεστάτας* praestare videtur.

8. *αὐξάνεται δὲ πρ.*] corr. Sch.syll.; *αὐξ. καὶ πρ.* U Ald. H. St.; *crescit haec primum* G.

ἄχρι — ἐφίκηται] Sch.syll.; *ἄχρι οὗ δὴ κἀφίκηται* U; *ἄχρις οὐκ ἀφίκηται* MV; *ἄχρις οὗ ἀφ.* Ald. H. St.; *ἄχρις οὗ ἐφίκ.* Sch.cont.: *quoad libere solem accipiat* G.

οὔτε ὄζος] MVP Sch.; *οὔτε* om. Ald. Edd.

ὅταν αἱ — παραβλαστήσεις] scil. *γίγνωνται*. Sic dedi e conjectura. *οὕτως αἱ — π.* Ald. H.; *οὕτως αἱ — π.* [*ἐφέπονται*] Sch.; *οὕτως δὲ αἱ — π.* St.; *atque ita ramorum exortus laterales germinationes secuntur* G.

καὶ πεύκης] Ald. Edd.; *τῆς πεύκης* Sch. Paulo ante *τὰ δ' ἐστι* St.

ἐλάτης καὶ τῶν ἄλλων] U Sch.; *et abieti et aliis communia* G.; *ἐλάτης καὶ τῶν ἐλάτων καὶ ἄλλων* Ald. H. St. Ad *τῶν ἄλλων* subaudias *τῶν ὕλην παρεχόντων δένδρων*. Exc. P$_2$: *ὅτι τῆς μὲν πεύκης καὶ ἐλάτης τῶν ἄλλων τὰ μὲν τρίξοα τὰ δὲ τετράξοα.*

9. *τετράξοος — δίξοος*] St. Sch.; *τετρίζοος — δίζοος* Ald. B. Cam.; *τετράξοος — δίζοος* H. In Par. *τετράζοος* et *δίζοος* a m. p., correctum a m. sec. in *τετράξοος — δίξοος*. — Vide H. Steph. Thes. sub *διζος*.

τετραξόους μὲν ὅσαις ἐφ' ἑκάτερα τῆς ἐντεριώνης δύο κτηδόνες εἰσὶν ἐναντίαν ἔχουσαι τὴν φύσιν· ἔπειτα καθ' ἑκατέραν τὴν κτηδόνα ποιοῦνται τὴν πελέκησιν ἐναντίας τὰς πληγὰς κατὰ κτηδόνα φέροντες ὅταν ἐφ' ἑκάτερα τῆς ἐντεριώνης ἡ πελέκησις ἀναστρέφῃ. τοῦτο γὰρ ἐξ ἀνάγκης συμβαίνει διὰ τὴν φύσιν τῶν κτηδόνων. τὰς δὲ τοιαύτας ἐλάτας καὶ πεύκας τετραξόους καλοῦσι. εἰσὶ δὲ καὶ πρὸς τὰς ἐργασίας αὗται κάλλισται· πυκνότατα γὰρ ἔχουσι τὰ ξύλα καὶ τὰς αἰγίδας αὗται φύουσιν. αἱ δίξοοι δὲ κτηδόνα μὲν ἔχουσι μίαν ἐφ' ἑκάτερα τῆς ἐντεριώνης ταύτας δὲ ἐναντίας ἀλλήλαις ὥστε καὶ τὴν πελέκησιν εἶναι διπλῆν μίαν καθ' ἑκατέραν κτηδόνα ταῖς πληγαῖς ἐναντίαις· ἀπαλώτατα μὲν οὖν ταῦτά φασιν ἔχειν τὰ ξύλα, χείριστα δὲ πρὸς τὰς ἐργασίας· διαστρέφεται γὰρ μάλιστα. μονοξόους δὲ καλοῦσι τὰς ἐχούσας μίαν μόνον κτηδόνα· τὴν δὲ πελέκησιν αὐτῶν γίνεσθαι τὴν αὐτὴν ἐφ' ἑκάτερα τῆς ἐντεριώνης· φασὶ δὲ μανότατα μὲν ἔχειν τῇ φύσει τὰ ξύλα ταῦτα πρὸς δὲ τὰς διαστροφὰς ἀσφαλέστατα. διαφορὰς δὲ ἔχουσι τοῖς φλοιοῖς καθ' ἃς γνωρίζουσιν ἰδόντες εὐθὺς τὸ δένδρον πεφυκὸς ποιόν τί ἐστι· τῶν μὲν γὰρ εὐκτηδόνων καὶ ἀστραβῶν καὶ ὁ φλοιὸς λεῖος καὶ ὀρθὸς τῶν δ' ἐναντίων τραχύς τε καὶ διεστραμμένος· ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν. ἀλλ' ἔστι τετράξοα μὲν ὀλίγα μονόξοα δὲ πλείω τῶν ἄλλων. ἅπασα δὲ ἡ ὕλη μείζων καὶ ὀρθοτέρα καὶ ἀστραβεστέρα καὶ στιφροτέρα καὶ ὅλως καλλίων καὶ πλείων ἡ ἐν τοῖς προσβορείοις ὥσπερ καὶ πρότερον ἐλέχθη· καὶ αὐτοῦ τοῦ δένδρου δὲ τὰ πρὸς βορρᾶν πυκνότερα καὶ νεανικώτερα. ὅσα δὲ

10.

11.

τετραξόους μὲν] Pz H. St. Sch.; *τετραζόους μ.* Ald. Bas. Cam.

καθ' ἑκατέραν] corr. mB. St. Sch.; *atque per utrumque cursum adigunt ictus* G.; *καθ' ἑτέραν* Pz Ald. H. Ceterum de significatione et origine verbi *κτηδών* multa undequaque congesta attulit Schneider, sed ab ipsius rei explanatione abstinuit.

τετραξόους] Pz Ald. Cam. H. St Sch.; *τετραζώους* V; *τετραζόους* Bas.

αὗται φύουσιν· αἱ δίξοοι δὲ] H. St. Sch.; *αὗται· φύουσι δὲ· αἱ δίζόοι δὲ* Ald.; *αὗται φύουσιν δὲ αἱ δίξοοι δὲ* UMV; *αὗται· αἱ δίξοοι δὲ* Pz.

10. *μίαν κ.*] de conj.; *μίαν δὲ κ.* Pz Ald. H. St.; *μιᾶν μὲν κ.* Sch., qui deinceps *ταῖς πληγαῖς δ' ἐναντίαις* scribere voluit sed *δὲ* in cont. omisit.

ἐναντίαις] St. Sch.; *ἐναντίας* Pz Ald. H.; *simplex per utrumque cursum ictu contrario* G.

ἀπαλώτατα] Pz de conj. Sch.; *ἀπαλότητα* Ald. Edd.

μονοξόους] Ald. H. St. Sch.; *μονοζόους* MV Bas. Cam. — Deinceps *τὰς* om. St.

τὴν δὲ πελ.] Ald. Edd.; *δὲ* om. UMPz. — Post *αὐτῶν* addit i. a. *φασὶ* St.

μανότατα] sic correxi concinnitatis causa. *μανότητα* Ald. Edd. o.

τὰ ξύλα ταῦτα, πρὸς δὲ τὰς] corr. Sch.; *τὰ ξύλα· ταῦτα δὲ πρὸς τὰς* Ald. H.; *τινὰ ξύλα· ταῦτα δὲ πρὸς τὰς* St.

11. *ἰδόντες*] Ald. H. St.; Schn. in Comm. scribit: „Vind. *οἴδοντες*, Med. *οἱ δόντες* unde *οἱ ἰδόντες* effeci," et sic dedit in contextu. Idem in Auctar. var. lect. „*οἱ ἰδόντες* U non habet cum MV." Alterutrum falsum esse oportet. Suspicor scribere voluisse in Auct. *οἱ* ante *ἰδόντες* U non habet. In Syllabo nihil correxit. Ceterum *οἱ* non recte addidit Schn.; conjungenda enim *ἰδόντες εὐθὺς* i. e. primo obtutu, vel *ubi primum arborem viderunt*, ut G. habet.

ὁμοίως δὲ] UMP Sch.; *δὲ* om. Ald. H. St.

τετράξοα — μονόξοα] Ald. Cam. H. St. Sch.; *τετράζοα — μονόζοα* Bas.; *τετράζοα —μονόζωα* V; *τετράζωα—μονύζωα* M.

στιφρότερα] UMV; *στριφνότερα* Ald.; *στρυφνότερα* H. St. Sch. Vide Ruhnk. ad Timae. p. 237 cujus dictum confirmant codices Theophr. 3, 11, 4. C. 3, 7, 2. C. 3, 17, 8.

δένδρου δὲ] U Sch.-syll.; *δένδρου δὴ* Ald. Edd.

ὑποπαράβορρα καὶ ἐν περιπνῳ ταῦτα στρέφει καὶ παραλλάττει παρὰ μικρὸν ὁ
12. βορέας ὥστε εἶναι παρεστραμμένην αὐτῶν τὴν μήτραν καὶ οὐ κατ' ὀρθόν. ἔστι
δὲ ὅλα μὲν τὰ τοιαῦτα ἰσχυρὰ τμηθέντα δὲ ἀσθενῆ διὰ τὸ πολλὰς ἔχειν παρ-
αλλαγάς. καλοῦσι δὲ οἱ τέκτονες ἐπίτομα ταῦτα διὰ τὸ πρὸς τὴν χρείαν οὕτω
3 H. St. τέμνειν. ὅλως δὲ χείρω τὰ ἐκ τῶν ἐφύγρων καὶ εὐδιεινῶν καὶ παλισκίων καὶ
συνηρεφῶν καὶ πρὸς τὴν τεκτονικὴν χρείαν καὶ πρὸς τὴν πυρευτικήν. αἱ μὲν
οὖν τοιαῦται διαφοραὶ πρὸς τοὺς τόπους εἰσὶν αὐτῶν τῶν ὁμογενῶν ὡς γε
ἁπλῶς εἰπεῖν.

Cap. II. Διαιροῦσι γάρ τινες κατὰ τὰς χώρας καί φασιν ἀρίστην μὲν εἶναι
τῆς ὕλης πρὸς τὴν τεκτονικὴν χρείαν τῆς εἰς τὴν Ἑλλάδα παραγινομένης τὴν
μακεδονικήν· λεία τε γάρ ἐστι καὶ ἀστραβὴς καὶ ἔχουσα θυΐον. δευτέραν δὲ
τὴν παντικήν, τρίτην δὲ τὴν ἀπὸ τοῦ Ῥυνδάκου, τετάρτην δὲ τὴν αἰνιανικήν·
χειρίστην δὲ τήν τε παρνασιακὴν καὶ τὴν εὐβοϊκήν· καὶ γὰρ ὀζώδεις καὶ τρα-
2 χείας καὶ ταχὺ σήπεσθαι. περὶ δὲ τῆς ἀρκαδικῆς σκεπτέον. ἰσχυρότατα δὲ
τῶν ξύλων ἐστὶ τὰ ἄοζα καὶ λεῖα· καὶ τῇ ὄψει δὲ ταῦτα κάλλιστα. ὀζώδη δὲ
γίνεται τὰ κακοτροφηθέντα καὶ ἤτοι χειμῶνι πιεσθέντα ἢ καὶ ἄλλῳ τινὶ τοι-
ούτῳ· τὸ γὰρ ὅλον τὴν πολυοζίαν εἶναι ἔνδειαν εὐτροφίας. ὅταν δὲ κακοτρο-
φήσαντα ἀναλάβῃ πάλιν καὶ εὐσθενήσῃ συμβαίνει καταπίνεσθαι τοὺς ὄζους ὑπὸ
τῆς περιφύσεως· εὐτροφοῦν γὰρ καὶ αὐξανόμενον ἀναλαμβάνει καὶ πολλάκις
ἔξωθεν μὲν λεῖον τὸ ξύλον διαιρούμενον δὲ ὀζῶδες ἐφάνη. διὸ καὶ σκοποῦν-
ται τῶν σχιστῶν τὰς μήτρας· ἐὰν γὰρ αὗται ἔχωσιν ὄζους, ὀζώδη καὶ τὰ ἐκτός·

ὑποπαράβορρα] St. Sch.; *ὑπὸ παράβορρα* Ald. Schn. suspicatur *ὑπόβορρα ἢ παράβορρα* scriptum fuisse.

καὶ ἐν π.] U; *ἢ ἐν π.* Ald. Edd. o.

στρέφει] *στέγει* UM.

παραλλάττει] conj. Dalec. Sch. syll.; *παραλλάγει* U; *παραλήγει* Ald. Edd.; *παραλυγίζει* conj. H. Steph.

12. *ἐπίτομα*] U, conj. Scalig. cod. Casaub. H. St. Sch.; *brevia* G.; *ἐπίτοκα* V Ald.; *ἐπὶ τόκα* M.; *ἐπὶ τὸ κατὰ* P; *ἐπίκοπα* conj. H. Steph. in Thes.

χείρω τὰ] *ξύλα* i. u. add. St. — Deinceps *ἐκ καὶ ἐφυγρῶν* cum Cam. H. St.

εὐδιεινῶν] P₂ Edd. post H.; *εὐδινῶν* U MV Ald. — *πολισκίων* V.

καὶ συνηρεφῶν] UMVP₂ Sch.; *καὶ τῶν συνηρεφῶν* Ald. Edd. Ceterum *συνερεφῶν* M. *συνιρεφῶν* V.

ὡς γε ἁπλῶς] Sch. syll.; *ὡς δὲ ἁ.* Ald. H. St.; *ὡς ἁπλῶς* Sch. cont. — Paulo ante *εἰσὶν* om. St.

Cap. II.

γάρ τινες] Ald. Edd.; *δέ τινες* Schn.; *δὲ καὶ* P₂.

τῆς — παραγινομένης] UMV Sch.; *τῆς — παραγινομένης* P₂; *τὴν — παραγινομένην* Ald. H. St.

θυΐον] de corr. Scalig. Sch. syll.; *θύϊόν τι* St.; *τύϊον* P₂ Ald. H. Recte de hoc loco Sch. judicare videtur in iudice s. v. *θύια. ἔχουσα θυΐον continens resinam*: videtur enim *θυΐον* resinam illam odoratam, quae plurium arborum coniferarum propria est, significare. Hac autem ligonum validum effici, quia antiseptica est, notum; idque Theophrastum dicere voluisse videmus e membro opposito *καὶ ταχὺ σήπεσθαι*.

ἀπὸ τοῦ Ῥυνδάκου] *ἀπορυν* P₂.

αἰνιανικὴν] corr. Palmer. Ex., Harduin ad Plin. 16, 39, Sch.; *αἰανικὴν* P₂ Ald. H. St. — Dein *παρνασσιακὴν — εὐοϊκὴν* P₂.

2. *ταῦτα κάλλιστα· ὀζώδη δέ*] corr. Scal. Sch.; *ταῦτα καὶ μάλιστα ὀζώδη γιν.* Ald. H.; *ταῦτα κάλλιστα· καὶ μάλιστα ὀζώδη γιν.* St.; *ταῦτα μάλιστα· ὀζώδης δὲ γιν.* U. *κάλλιστα* adnotatur etiam e Vo. Commate *καὶ — κάλλιστα* omisso, *ὀζώδη δὲ* pergit P₂.

κακοτροφηθέντα] U mBas. St. Sch.; *κακοστροφ.* Ald. H.; *τά τε κακοστροφ.* P₂; *male adulta* G.

ἔνδειαν] *δι' ἐνδειαν* St.

καὶ οὗτοι χαλεπώτεροι τῶν ἐκτὸς καὶ φανεροί. γίνονται δὲ καὶ αἱ σπεῖραι διὰ 3.
χειμῶνας τε καὶ κακοτροφίαν. σπείρας δὲ καλοῦσιν ὅταν ἡ συστροφή τις ἐν
αὐτῇ μείζων καὶ κύκλοις περιεχομένη πλείοσιν οὔθ' ὥσπερ ὁ ὄζος ἁπλῶς οὔθ'
ὡς ἡ οὐλότης ἡ ἐν αὐτῷ τῷ ξύλῳ· δι' ὅλου γάρ πως αὕτη καὶ ὁμαλίζουσα·
χαλεπώτερον δὲ τοῦτο πολὺ καὶ δυσεργότερον τῶν ὄζων. ἔοικε δὲ παραπλη-
σίως καὶ ὡς ἐν τοῖς λίθοις ἐγγίνεσθαι τὰ καλούμενα κέντρα. ὅτι δ' ἡ περίφυ-
σις καταλαμβάνει τοὺς ὄζους φανερώτατον ἐξ αὐτῆς τῆς αἰσθήσεως οὐ μὴν
ἀλλὰ καὶ ἐκ τῶν ἄλλων τῶν ὁμοίων· πολλάκις γὰρ αὐτοῦ τοῦ δένδρου μέρος 4.
τι συνελήφθη ὑπὸ θατέρου συμφυοῦς γενομένου· καὶ ἐάν τις ἐκλύψας θῇ λί-
θον εἰς τὸ δένδρον ἢ καὶ ἄλλο τι τοιοῦτον κατακρύπτεται περιληφθὲν ὑπὸ τῆς
περιφύσεως· ὅπερ καὶ περὶ τὸν κότινον συνέβη τὸν ἐν Μεγάροις τὸν ἐν τῇ
ἀγορᾷ· οὗ καὶ ἐκκοπέντος λόγιον ἦν ἁλῶναι καὶ διαρπασθῆναι τὴν πόλιν· ὅπερ
ἐγένετο . . . Δημήτριος. ἐν τούτῳ γὰρ διασχιζομένῳ κνημῖδες εὑρέθησαν καὶ
ἄλλ' ἄττα τῆς ἀττικῆς κερμηστὶ ὅ ἐστιν ἐν κοτίνῳ· οὗ ἀνετέθη τὸ πρῶτον ἐγ-
κοιλανθέντος. τούτου δ' ἔτι μικρὸν τὸ λοιπόν. πολλαχοῦ δὲ καὶ ἄλλοθι γίνε-
ται πλείονα τοιαῦτα. καὶ ταῦτα μὲν ὥσπερ εἴρηται κοινὰ πλειόνων.

Cap. III. Κατὰ δὲ τὰς ἰδίας ἑκάστου φύσεις αἱ τοιαῦταί εἰσι διαφοραί, οἷον 4. H. St.
πυκνότης μανότης βαρύτης κουφότης σκληρότης μαλακότης, ὡσαύτως δὲ καὶ

τὰ ἐκτὸς — καὶ φανεροί] sic U, qui supplementum quinque verborum praebet; *τὰ ἐκτὸς καὶ φανεροὶ* Ald.; *τὰ ἐκτὸς καὶ φανερῶς* H.; *τὰ ἐκτὸς καίπερ οὐ φανερῶς* St.; *τὰ ἐντὸς καὶ φανερῶς δὲ γιν. κ.* Schn.cont.: *τὰ ἐντὸς καὶ οὗτοι χαλεπώτεροι τῶν ἐκτὸς καὶ φανερῶς δὲ γιν. κ.* Sch.syll. Ex. P2: *διαιρούμενον δὲ εὑρέθη ὀζώδες. οὗτοι δὲ χαλεπώτεροι τῶν ἐκτός.* Si scriptum esset πλὴν οὗτοι verba integra praestiterim.

3. *κακοτροφίαν*] *κακοτροφίας* M.

καλοῦσιν] *καὶ καλοῦσιν* Cam.

ἡ συστροφή] corr. Scalig. H. St. Sch.; *ἡ εὐστροφὴ* U; *ἡ εὐτροφὴ* V; *ἢ εὐτροφὴ* M; *ἡ εὐτροφῇ* Ald.; *εὐστροφὴ* P2; *στροφὴ* Vo. — Verba *ἐν αὐτῇ* om. G.

κύκλοις — ξύλῳ] Haec sic pessumdata exhibuit cum Cam. H.: *κύκλοις περιεχομένη οὐλότης ἡ πλείοσιν — οὔθ' ὡς ἡ ἐν αὐτῷ τῷ ξύλῳ.* — Articul. ante *ὄζος* om. M., post *οὐλότης* om. St.

τῶν ὄζων] P2 e corr. Scal. H. St. Sch.; *τῶν αὐζων* UMV Ald.; *quam nodus* G.

καὶ ὡς ἐν] Schn. *ὡς* seclusit.

ὅτι δ' ἡ] *ὅτι δὲ* Ald. H. St.; *ὅτι δὴ* UMV; *ὅτι δὲ ἡ* Sch.

4. *μέρος τι συν.*] H. St. Sch. cum cod. Cas., omisso *αὐτοῦ* quod post *τι* adjiciunt U MV Ald. Sed vide ne aliud verbum ibi fuerit in *αὐτοῦ* corruptum. An *ἀπὸ τυχῆς*? quo ducit et sententia et quod scribit Plinius 16, 39: *Et quaedam forte accidunt lapide comprehenso* etc.

ἐκλύψας θῇ] correxi ex U, qui *ἐκλυψας θῆι* habet; Schn. in Syll. mavult *ἐγκλύψας θῇ*; *ἐκλιθασθῇ* Ald. H. St.; *ἐνθλάσῃ* Schn. cont.

Μεγάροις] Ald. Cam. H. St. Sch.; *μεγάραις* P2; *Μαγάραις* M.

ὅπερ] UMV Ald. Sch.syll.; *ὥσπερ* H. St. Sch. — Dein *περὶ τοῦ τὸν* M1.

Δημήτριος] Ald. et Sch., qui lacunae signum praeposuit; *ὑπὸ Δημητρίου* conj. Palmer. Ex. p. 599; *ἐπὶ Δημητρίου* St. Totus locus vitio gravi laborat.

διασχιζομένῳ] H. St. Sch.; *διασχιζομένων* Ald.

τῆς ἀττικῆς — κοτίνῳ] *κερμηστὶ* U, *κερμηστί* Ald.; *κερμαστὶ* M; *κερμάστων* V; *τ. ἀττικῆς ἐργασίας ἃ ἐστιν* St., a quo *ἐργασίας* recepit Sch.; *σκευασίας* conj. Scalig. Verba *ὅ ἐστιν ἐν κοτίνῳ* seclusit Sch. omissa a Guza, qui *et alia quaedam Attici ritus: parte qua primum affixa fuere, ad ramorum ambitum concavatu* vertit. Frustranea est opera partem hujus loci emendare, quem totum redintegrare non licet. Vide Plin. 16, 39.

ἀνετέθη] Ald. Edd.; *ἀνατεθῇ* UM.

ἐγκοιλανθέντος] U Sch.syll.; *ἐγκοιλαθέντος* PMV; *ἐγκοιλασθέντος* Ald. Edd. c.

Cap. III.

ἑκάστου] *ξύλου* add. St.

εἴ τις ἄλλη τοιαύτη· κοιναὶ δὲ ὁμοίως αὗται καὶ τῶν ἡμέρων καὶ τῶν ἀγρίων ὥστε περὶ πάντων λεκτέον. πυκνότατα μὲν οὖν δοκεῖ καὶ βαρύτατα πύξος εἶναι καὶ ἔβενος· οὐδὲ γὰρ οὐδ' ἐπὶ τοῦ ὕδατος ταῦτ' ἐπινεῖ. καὶ ἡ μὲν πύξος ὅλη τῆς δὲ ἐβένου ἡ μήτρα ἐν ᾗ καὶ ἡ τοῦ χρώματός ἐστι μελανία· τῶν δ' ἄλλων ὁ λωτός. πυκνὸν δὲ καὶ ἡ τῆς ὀρυὸς μήτρα ἣν καλοῦσι μελάνδρυον· καὶ
2. ἔτι μᾶλλον ἡ τοῦ κυτίσου· παρομοία γὰρ αὕτη δοκεῖ τῇ ἐβένῳ εἶναι. μέλαν δὲ σφόδρα καὶ πυκνὸν τὸ τῆς τερμίνθου· περὶ γοῦν Συρίαν μελάντερόν φασιν εἶναι τῆς ἐβένου· καὶ ἐκ τούτου γὰρ καὶ τὰς λαβὰς τῶν ἐγχειριδίων ποιεῖσθαι, τορνεύεσθαι δὲ ἐξ αὐτῶν καὶ κύλικας θηρικλείους, ὥστε μηδένα ἂν διαγνῶναι πρὸς τὰς κεραμέας· λαμβάνειν δὲ τὸ ἐγκάρδιον· δεῖν δὲ ἀλείφειν τὸ ξύλον· οὕτω γὰρ γίνεσθαι καὶ κάλλιον καὶ μελάντερον. εἶναι δὲ καὶ ἄλλο τι δένδρον δ ἅμα τῇ μελανίᾳ καὶ ποικιλίαν τινὰ ἔχει ὑπέρυθρον ὥστε εἶναι τὴν ὄψιν ὡσὰν ἐβένου ποικίλης· ποιεῖσθαι δ' ἐξ αὐτοῦ καὶ κλίνας καὶ δίφρους καὶ τὰ ἄλλα τὰ σπουδαζόμενα. τὸ δένδρον μέγα σφόδρα καὶ καλόφυλλον εἶναι ὅμοιον ταῖς
3. ἀπίοις. ταῦτα μὲν οὖν ἅμα τῇ μελανίᾳ καὶ πυκνότητα ἔχει. πυκνὸν δὲ καὶ ἡ σφένδαμνος καὶ ἡ ζυγία καὶ ὅλως πάντα τὰ οὔλα· καὶ ἡ ἐλάα δὲ καὶ ὁ κότινος, ἀλλὰ κραῦρα. μανὰ δὲ τῶν μὲν ἀγρίων καὶ ἐρεψίμων τὰ ἐλάτινα μάλιστα τῶν δ' ἄλλων τὰ ἄκτινα καὶ τὰ σύκινα καὶ τὰ τῆς μηλέας καὶ τὰ τῆς δάφνης. σκληρότατα δὲ τὰ δρύϊνα καὶ τὰ ζύγινα καὶ τὰ τῆς ἀρίας· καὶ γὰρ ὑποβρέχουσι ταῦτα πρὸς τὴν τρύπησιν μαλάξεως χάριν. μαλακὰ δὲ καθ' ὅλου μὲν τὰ μανὰ καὶ χαῦνα· τῶν δὲ σαρκωδῶν μάλιστα φίλυρα. δοκεῖ δὲ καὶ θερμότατον εἶναι τοῦτο· σημεῖον δὲ ὅτι μάλιστα ἀμβλύνει τὰ σιδήρια· τὴν γὰρ βαφὴν ἀνίησι
4. διὰ τὴν θερμότητα. θερμὸν δὲ καὶ κιττὸς καὶ δάφνη καὶ ὅλως ἐξ ὧν τὰ πυρεῖα

αὗται] εἰσὶ add. St.

πυκνότατα — βαρύτατα] Ald. Edd. o.: πυκνοτάτη — βαρυτάτη UM Sch.syll.

ἔβενος Ald. Edd. o.; ἔβεννος UP₂P. — Dein τοῦ δὲ ἐβέννου P₂.

πυκνὸν] πυκνὸν δὲ καὶ ἡ ὀρῦς καὶ ἣν καλοῦσι μελάνδριον P₂; *spissa et roboris medulla*: *quod atrum cognominant* G.

2. καὶ ἐκ τούτου] UMV Sch.syll.; καὶ om. Ald. Edd.

τορνεύεσθαι] πορνεύεσθαι M.

μηδένα ἄν] conj.; μηδ' ἂν ἕνα cum Ald. ubi μὴ δ' ἂν ἕνα scriptum, H. Sch.; μηδ' ἂν εἶναι St. conjectura haud mala.

κεραμέας] κραμέας H.

λαμβάνειν] corr. H. St. Sch.; λαμβάνει MV Ald.

δεῖν δὲ] UMV Ald.; δεῖν καὶ H. St.; δεῖν, καὶ Sch.

ἔχει] UMV Ald. St. Sch.syll.; ἔχειν H. Sch.cont.

αὐτῶν] αὐτοῦ St.

τὰ σπ.] τὰ om. Bas.

δένδρον μ.] UMV; δ. δὲ μ. Ald. Edd. o. — φασὶ add. St.

καλόφυλλον] sic vel καλλίφυλλον scribendum est pro καλλόφυλλον, quod cum Ald. tenent Edd.

ταῖς ἀπ.] corr. Sch.syll.; τοῖς ἀπ. Ald. Edd. o.

πυκνότητα] πυκνότατα M.

3. καὶ ἡ σφ.] καὶ om. M.

οὔλα] ἄλλα P.

ἀλλὰ κραῦρα] corr. Sch.; ἀλλὰ καὶ αὖρα UMV Ald.; ἀλλὰ καὶ καῦρα H.; ἀλλὰ δ' εἰσὶ κραῦρα St.; om. G.

ἄκτινα] Ald. Edd.; ακτηνα U, ἀκτηνὰ M.

ζύγινα] corr. St. Sch.; ζύγια Ald. H.

ὑποβρέχουσι] corr. cum Harduino ad Plin. 16, 40 ut terebrari nisi madefactum non queat; ἀποβρίθουσι Ald. H.; ἀποβρέχουσι mBas. Scalig. St.; ἐπιβρέχουσι Schn.

καὶ χαῦνα] UMVP₂ Sch.syll.; καὶ τὰ χ. Ald. Edd. o.

ἀμβλύνει] ἀμβλῆναι M₁V.

σιδήρια] P₂ Ald. Edd. o.; σιδήρα M₂; σίδηρα M₁V.

4. δάφνη καὶ] δάφνη ον καὶ V.

πυρεῖα] H. St. Sch.; πυρὰ UMV Ald.; *quibus facere ignaria solent* G.

γίνεται· Μενέστωρ δέ φησι καὶ συκάμινον. ψυχρότατα δὲ τὰ ἔνυδρα καὶ ὑδατώδη. καὶ γλίσχρα δὲ τὰ ἰτέϊνα καὶ ἀμπέλινα, διὸ καὶ τὰς ἀσπίδας ἐκ τούτων ποιοῦσι· συμμύει γὰρ πληγέντα. κουφότερον δὲ τὸ τῆς ἰτέας, μανότερον γάρ, διὸ καὶ τούτῳ μᾶλλον χρῶνται. τὸ δὲ τῆς πλατάνου γλισχρότητα μὲν ἔχει, φύσει δὲ ὑγρότερον τοῦτο καὶ τὸ τῆς πτελέας. σημεῖον δέ ἐστιν, μετὰ τὴν τομὴν ὀρθὸν ὅταν σταθῇ πολὺ ὕδωρ ἀφίησι. τὸ δὲ τῆς συκαμίνου πυκνὸν ἅμα καὶ γλίσχρον. ἔστι δὲ καὶ ἀστραβέστατον τὸ τῆς πτελέας, διὸ καὶ τοὺς 5.
στροφεῖς τῶν θυρῶν ποιοῦσι πτελεΐνους· ἐὰν γὰρ οὗτοι μένωσι καὶ αἱ θύραι μένουσιν ἀστραβεῖς, εἰ δὲ μὴ διαστρέφονται. ποιοῦσι δ' αὐτοὺς ἔμπαλιν τιθέντες τὰ ξύλα τό τε ἀπὸ τῆς ῥίζης καὶ τὸ ἀπὸ τοῦ φύλλου· καλοῦσι δὲ οἱ τέκτονες τὸ ἀπὸ τοῦ φύλλου τὸ ἄνω· ἐναρμοσθέντα γὰρ ἀλλήλοις ἑκάτερον κωλύει πρὸς τὴν ὁρμὴν ἐναντίως ἔχον. εἰ δὲ ἔκειτο κατὰ φύσιν, οὔπερ ἡ ῥοπὴ ἐνταῦθα πάντως ἂν ἦν ἡ φορά. τὰς δὲ θύρας οὐκ εὐθὺς συντελοῦσιν ἀλλὰ πήξαντες ἐφιστᾶσι, κἄπειτα ὑστέρῳ οἱ δὲ τῷ τρίτῳ ἔτει συνετέλεσαν ἐὰν μᾶλλον σπουδάζωσι· τοῦ μὲν γὰρ θέρους ἀναξηραινόμεναι διΐστανται τοῦ δὲ χειμῶνος συμμύουσιν. αἴτιον δ' ὅτι τῆς ἐλάτης τὰ μανὰ καὶ σαρκώδη ἕλκει τὸν ἀέρα ἔνικμον ὄντα. ὁ δὲ φοῖνιξ κοῦφος καὶ εὔεργος καὶ μαλακὸς ὥσπερ ὁ φελλὸς 6.
βελτίων δὲ τοῦ φελλοῦ ὅτι γλίσχρος· ἐκεῖνο δὲ θραυστόν. διὰ τοῦτο τὰ εἴδωλα νῦν ἐκ τοῦ τῶν φοινίκων ποιοῦσι τὸν δὲ φελλὸν παρήκασι. τὰς ἴνας δὲ οὐ δι' ὅλου ἔχει οὐδ' ἐπὶ πολὺ καὶ μακρὰς οὐδ' ὡσαύτως τῇ θέσει ἐγκειμένας πάσας ἀλλὰ παντοδαπῶς. ἀναξηραίνεται δὲ καὶ λεαινόμενον καὶ πριόμενον τὸ ξύλον. τὸ δὲ θύον, οἱ δὲ θύαν καλοῦσι, παρ' Ἀμμωνί τε γίνεται καὶ ἐν τῇ Κυρηναίᾳ, 7.5 H.St.

συκάμινον] UMVP Ald. Sch.; *συκάμινος* cum Cam. H. St.

καὶ ὑδατώδη] *καὶ γὰρ ὑδ.* St. Recte G.: *quae aquatiles aquosaeque sint.*

δὲ τὰ ἰτ.] UMVP$_2$ Sch.syll.; *δὲ τά τε ἰτ.* Ald. H. Sch.cont.; *δὲ, ὡς τά τε ἰτ.* St. — Dein *συμμύειν* P$_2$.

κουφότερον — μανότερον] Exc. P$_2$: *ἐλαφροτάτη δ' ἡ ἰτέα, μανοτάτη γάρ.*

ἐστιν, μετὰ] *ὅτι* interseruit St. et i. u. Sch.

ὀρθὸν ὕταν] dedi de corr.; *ὀρθὸς ὅταν* MV; *ὕταν ὀρθὰ* Ald. Edd.; *erecta materies* G.

5. *τό τε ἀπὸ — φύλλου τὸ ἄνω*] sic U, qui octo verborum defectum supplet; *καλοῦσι — τοῦ* om. Ald.; *τό τε ἀπὸ τῆς ῥίζης ἄνω καὶ τὸ ἀπὸ τοῦ φύλλου τὸ κάτω* St.; *τό τε ἀπὸ τῆς ῥίζης ἄνω καὶ τὸ ἀπὸ τοῦ φύλλου* [*κάτω*] Sch. *Faciunt eos ligna permutantes quod radicem versus quodque in cacumine fuit* G.; *καλοῦσι — τὸ ἄνω* om. P$_2$.

κωλύει] *θάτερον* i. u. addidit Sch.

εἰ δὲ ἔκειτο] sic correxi; *εἰ δὲ ἐκεῖνο*, Ald. Edd. o., quod quo referri possit non habet. Scalig. supplebat *διετέθη*, Schn. post *φύσιν* posuit i. u. *ἐτέθη*. Ad *ἔκειτο* intellige *τὰ ξύλα*.

οὔπερ] UMV; *ἧπερ* Ald. Edd.

ἂν ἦν ἡ φορά] *ἦν* addidi cum Schn.; *ἂν εἴη ἡ φ.* St.; *ἂν ἡ φορὰ* Ald. H.; *ἂν ἡ φοραὶ* V. Nisi praestat *ἐνταῦθ' ἂν πάντως ἦν ἡ φ.*

ἐφιστᾶσι] UMV Sch.syll.; *ἀφεστᾶσι* Ald. H. St.; *ἀφιστᾶσι* Sch.cont.

ὑστέρῳ] *ὕστερον* Ald. H. Sch.; *ὕστερον, οἱ μὲν τῷ τρίτῳ οἱ δὲ τετάρτῳ ἔτει* St.

ἀναξηραινόμεναι] H. St. Sch.; *ἀναξηραινομένων* UMV Ald.

ὅτι τῆς ἐλάτης] *τῆς ἐλ.* om. G.; *ταὐτὸ· καὶ τῆς ἐλ.* St.

6. *εὔεργος*] *εὔε . . .* M.

τὸν δὲ φελλὸν] U Sch.syll.; *τοῦτο δὲ φαῦλον* MV; *τοῦτο δ' ὡς φαῦλον* Ald. Edd.; *spreta suberis materie ut incommoda* G.

7. *θύον*] M Ald. H. Sch.; *ἰθύον* U.; *θεῖον* V; *θύϊον* St.; *Tyium* G.

θύαν] MV Ald. Sch.; *θύιαν* H.; *θύϊαν* St.; *θυι* $\frac{αν}{}$ P$_2$.

γίνεται] *γίγνεται* M; *γίνεται* P$_2$.

τὴν μὲν μορφὴν ὅμοιον κυπαρίττῳ καὶ τοῖς κλάδοις καὶ τοῖς φύλλοις καὶ τῷ στελέχει καὶ τῷ καρπῷ, μᾶλλον δ' ὥσπερ κυπάριττος ἀγρία· πολὺ μὲν καὶ ὅπου νῦν ἡ πόλις ἐστὶ, καὶ ἔτι διαμνημονεύουσιν ὀροφάς τινας τῶν ἀρχαίων οὔσας. ἀσαπὲς γὰρ ὅλως τὸ ξύλον· οὐλότατον δὲ τὴν ῥίζαν ἐστί· καὶ ἐκ ταύτης τὰ σπουδαιότατα ποιεῖται τῶν ἔργων. τὰ δὲ ἀγάλματα γλύφουσιν ἐκ τῶνδε, κέδρων κυπαρίττου λωτοῦ πύξου· τὰ δ' ἐλάττω καὶ ἐκ τῶν ἐλαίνων ῥιζῶν· ἀρραγεῖς γὰρ αὗται καὶ ὁμαλῶς πως σαρκώδεις. ταῦτα μὲν οὖν ἰδιότητά τινα τόπων καὶ φύσεως καὶ χρείας ἀποδήλοι.

Cap. IV. Βαρέα δὲ καὶ κοῦφα ὅλον ὡς τῇ πυκνότητι καὶ μανότητι καὶ ὑγρότητι καὶ ξηρότητι καὶ τῷ γλοιώδει καὶ σκληρότητι καὶ μαλακότητι ληπτέον. ἔνια μὲν οὖν ἅμα σκληρὰ καὶ βαρέα καθάπερ πύξος καὶ ὀρῦς· ὅσα δὲ κραῦρα καὶ τῇ ξηρότητι σκληρότατα ταῦτ' οὐκ ἔχει βάρος. ἅπαντα δὲ τὰ ἄγρια τῶν ἡμέρων καὶ τὰ ἄρρενα τῶν θηλειῶν πυκνότερά τε καὶ σκληρότερα καὶ βαρύτερα καὶ τὸ ὅλον ἰσχυρότερα καθάπερ καὶ πρότερον εἴπομεν. ὡς δ' ἐπὶ τὸ πᾶν καὶ τὰ ἀκαρπότερα τῶν καρπίμων καὶ τὰ χείρω τῶν καλλικαρποτέρων· εἰ μή που καρπιμώτερον τὸ ἄρρεν ὥσπερ ἄλλα τέ φασι καὶ τὴν κυπάριττον καὶ τὴν κρανείαν. ἀλλὰ τῶν γε ἀμπέλων φανερῶς αἱ ὀλιγοκαρπότεραι καὶ πυκνοφθαλμότεραι καὶ στερεώτεραι· καὶ μηλέων δὲ καὶ τῶν ἄλλων ἡμέρων.

2. ἀσαπῆ δὲ φύσει κυπάριττος κέδρος ἔβενος λωτὸς πύξος ἐλάα κότινος πεύκη ἔνδαδος ἀρία ὀρῦς καρύα εὐβοϊκή. τούτων δὲ χρονιώτατα δοκεῖ τὰ κυπαρίττινα εἶναι· τὰ γοῦν ἐν Ἐφέσῳ, ἐξ ὧν αἱ θύραι τοῦ νεωστὶ νεὼ, τεθησαυρισμένα τέτταρας ἔκειτο γενεάς. μόνα δὲ καὶ στιλβηδόνα δέχεται, δι' ὃ καὶ τὰ σπουδαζόμενα τῶν ἔργων ἐκ τούτων ποιοῦσι. τῶν δὲ ἄλλων ἀσαπέστατον μετὰ τὰ κυπαρίττινα καὶ τὰ θυώδη τὴν συκάμινον εἶναί φασι καὶ ἰσχυρὸν ἅμα καὶ εὔεργον τὸ ξύλον· γίνεται δὲ τὸ ξύλον καὶ παλαιούμενον μέλαν ὥσπερ λωτός.

3. ἔτι δὲ ἄλλο πρὸς ἄλλο καὶ ἐν ἄλλῳ ἀσαπὲς, οἷον πτελέα μὲν ἐν τῷ ἀέρι, ὀρῦς

κυπάριττος ἀγρία] corr. Sch.; *κυπάρισσον ἀγρίαν* M Ald.; *κυπάρισσος ἀγρία* H. St.

πολὺ] Ald. Edd.; *πολλὴν* M. Lectionem non satis integram esse recte animadvertit Schn.

ἀρχαίων οὐσῶν] UMV Ald.; *ἀρχ. ἐκ θυίας οὐσ.* H. St.; *ἀρχ. ναῶν ἐκ θύας οὐσ.* Sch.; *atque etiam memorant contignationes quasdam vestustissimas thuiae* G.

τὴν ῥίζαν] *κατὰ τ. ῥ.* St.

ἐκ τῶνδε, κέδρων] UMV Sch. syll.; *ἐκ τῶν κέδρων* Ald. Edd.; *ἐκ τῆς κέδρου* St.

ἐλαίνων] Dubitat Schn. an. h. l. *ἐλατίνων* scriptum fuerit.

μὲν οὖν] *τὰ ξύλα* add. St.

Cap. IV.

γλοιώδει] H. St. Sch.; *γλειώδει* MV Ald. St. verba transposuit: *καὶ σκληρ. καὶ μαλ. καὶ τῷ γλοιώδει ληπτέον.*

ἅμα σκληρὰ] U Sch. syll.; *ἅμα καὶ σκλ.* Ald. Edd. o.

τῇ ξηρότητι] U Sch. syll.; *τῇ σκληρότητι* Ald. Edd. o.

κρανείαν] *κρανίαν* Ald. Edd.

καὶ στερεώτεραι] *καὶ* om. St.

2. *πύξος*] *μίλος* addidit St.

τὰ γοῦν] UMV Ald. Sch.; *τὸ γοῦν* H. St. — Mox *ἐν* om. Cam.

νεωστὶ νεὼ] *νεωστὶ* om. H.; *νεωστὶ νήου* St.

τεθησαυρισμένα — ἔκειτο] corr. Bentl. ad Millium p. 30, Sch.; *τεθησαυρισμέναι — ἔκειντο* Ald. H. St.; *ἔκειτο* dat P.

θυώδη] UM Ald. Sch.; *θυιώδη* H.; *θυϊώδη* St.; *post cupressum ac thujam* G.

τὸ ξύλον γίνεται δὲ τὸ ξ.] UMVP; *γιν.— ξύλ.* om. Ald. Edd.; *τὸ ξύλον καὶ γίνεται παλαιούμενον* Sch. — Post *ξύλον* addidit *αὐτῆς* St. Verba praescripta om. G.

3. *ἔτι δὲ*] Ald. Edd.; *ὅτι δὲ* UMV.

δὲ κατορυττομένη καὶ ἐν τῷ ὕδατι καταβρεχομένη· δοκεῖ γὰρ ὅλως ἀσαπὲς εἶναι· διὸ καὶ εἰς τοὺς ποταμοὺς καὶ εἰς τὰς λίμνας ἐκ τούτων ναυπηγοῦσιν· ἐν δὲ τῇ θαλάττῃ σήπεται. τὰ δὲ ἄλλα διαμένει μᾶλλον ὅπερ καὶ εὔλογον ταριχευόμενα τῇ ἅλμῃ. δοκεῖ δὲ καὶ ἡ ὀξύη πρὸς τὸ ὕδωρ ἀσαπὴς εἶναι καὶ 4.
βελτίων γίνεσθαι βρεχομένη. καὶ ἡ καρύα δὲ ἡ εὐβοϊκὴ ἀσαπής. φασὶ δὲ καὶ τὴν πεύκην ἐλάτης μᾶλλον ὑπὸ τερηδόνος ἐσθίεσθαι· τὴν μὲν γὰρ εἶναι ξηρὰν, τὴν δὲ πεύκην ἔχειν γλυκύτητα καὶ ὅσῳ ἐνδαδωτέρα μᾶλλον· πάντα δ' ἐσθίεσθαι τερηδόνι πλὴν κοτίνου καὶ ἐλάας· τὰ δὲ οὐ διὰ τὴν πικρότητα. ἐσθίεται δὲ τὰ μὲν ἐν τῇ θαλάττῃ σηπόμενα ὑπὸ τερηδόνος τὰ δ' ἐν τῇ γῇ ὑπὸ σκωλήκων καὶ ὑπὸ θριπῶν· οὐ γὰρ γίνεται τερηδὼν ἀλλ' ἢ ἐν τῇ θαλάττῃ. ἔστι δὲ ἡ τερηδὼν τῷ μὲν μεγέθει μικρὸν κεφαλὴν δ' ἔχει μεγάλην καὶ ὀδόντας· οἱ δὲ 5.
θρίπες ὅμοιοι τοῖς σκώληξιν, ὑφ' ὧν τιτραίνεται κατὰ μικρὸν τὰ ξύλα. καὶ ἔστι ταῦτα εὐίατα· πιττοκοπηθέντα γὰρ ὅταν εἰς τὴν θάλατταν ἑλκυσθῇ στέγει· τὰ δὲ ὑπὸ τῶν τερηδόνων ἀνίατα. τῶν δὲ σκωλήκων τῶν ἐν τοῖς ξύλοις οἱ μέν εἰσιν ἐκ τῆς οἰκείας σήψεως οἱ δ' ἐντικτόντων ἑτέρων· ἐντίκτει γὰρ ὥσπερ καὶ τοῖς δένδροις ὁ κεράστης καλούμενος, ὅταν τιτράνῃ καὶ κοιλάνῃ περιστραφεὶς ὥσπερεὶ μυοδόχον. φεύγει δὲ τά τε ὁσμώδη καὶ πικρὰ καὶ σκληρὰ

τῷ ὕδ.] UMVPP$_2$ Sch.; τῷ om. Ald. Edd. o.
λίμνας ἐκ τούτων] Ald. Edd.; *λίμνας καὶ ἐκ τ.* UMV; *ob id fluviis lacubusque naves hac etiam materie condunt* G.
ὅπερ καὶ] UMVP Sch.syll.; *ὥσπερ κ.* Ald. Edd.
καὶ ἡ ὀξύη] P$_2$ Ald. H. St.; *καὶ ἡ φηγὸς καὶ ἡ ὀξ.* mBas. et Sch.; *fagus quoque sive scissima* G; *non improbatur et fagus in aqua et inglans.* Plin. 16, 40 s. 79.
εὐβοϊκὴ ἀσαπής] P H. St. Sch.; *εὐ. ἀσαπὲς* Ald.

4. *ξηρὰν* UMV Ald., quam scripturam defendit Scalig.; *πικρὰν* H. St. Sch.; *amaram* G.

ἐσθίεσθαι — πικρότητα] PAld. Bas. Sch., quibuscum etiam UMV convenire videntur; *ἐσθίεσθαι τερηδόνι, πλὴν βοτίνου καὶ ἐλαίας. ταῦτα γὰρ οὐχ ἐσθίεται διὰ πικρότητα ὑπὸ τερηδόνος* Cam., quae scriptura ab ingenio Camotii profecta esse videtur; haec sic mutilata dedit Heinsius: *ἐσθίεσθαι τερηδόνι πλὴν κοτίνου ὑπὸ τερηδόνος;* et Stackh. *ἐσθίεσθαι πλὴν κοτίνου ὑπὸ τερηδόνος.* — Post *πικρότητα* addit Ald. *τερηδὼν θρίπες* cum cruce, signo loci vel mutili vel vitiosi, et Sch. cum signo lacunae; om. Cam. H. St. Quae verba e margine, cui argumenti significandi causa adscripta fuerunt, in contextum venerunt. — *ἐλάας* solus dat U. — Gaza: *Omnes teredinem sentire affirmant: praeterquam oleastrum atque oleam quas amaritudinis causa Neque teredo neque tinea redit* (l. rodit). *Quae mari putrescere aptae sunt erodi et teredine solent.*

ἐσθίεται] UMV Sch.syll.; *ἐσθίεσθαι* Ald. Edd. o.; *εἴθισθαι* P.
μὲν ἐν] V Ald. Edd.; *ἐν* om. UM.
ὑπὸ θρ.] UM Sch.syll.; *ὑπὸ* om. Ald. Edd.
ἀλλ' ἢ] *ἄλλοθι ἢ* St.

5. *τιτραίνεται*] de conj. Scal. Sch syll.; *τιτρένεται* U Vo.; *πεπαίνεται* MV Ald.; *περαίνεται* H. St. Sch.; *perforantur* G.
πιττοκοπηθέντα] UMV Ald. Sch. syll.; *θριποκοπηθέντα* de conj. Scal. H. St. Sch. — *στέγει* vertit G. *durabit.* Cf. cap. 7, 4.
ἐκ τῆς οἰκ.] Ald. Edd.; *ἐν τῆς οἰ.* MV.
σήψεως] MV Ald. Edd.; *ὄψεως* U.
ἐντικτόντων] U, Sch. de conj.; *ἐκ τικτόντων* Ald. H. St.
ἐντίκτει] *ἐκτίκτει* St.
καὶ τοῖς δέν.] U Ald. H. St. Sch.syll.; *καὶ ἐν τοῖς δ.* MV Sch.cont.
ὥπερεὶ μυοδόχον] dedi de conj.: *sicut muris latebras.* Sic explico: Vermis parit in recessu ligni, sicuti cerastes in arboribus, cum eas erodendo penetraverit ibique se circumagens caveam effecerit, murium latebris similem; *ὥσπερ οἱ μυόχοδοι* Ald. H. Sch.; *ὡ. οἱ μυοδόχοι* Scal. St.; *ὡ. οἱ μυοδόχον* conj. Dalecamp.; Gaza haec verba omisit. Schn. suspicatur Theophrastum narrasse, *vermem, dum se convertit, egerere scobem ligni corrosi, quae muscerdam figura imitetur,* quod an quisquam probaturus sit dubito.

διὰ τὸ μὴ δύνασθαι τιτρᾶναι καθάπερ τὴν πύξον. φασὶ δὲ καὶ τὴν ἐλάτην φλοϊῳθεῖσαν ὑπὸ τὴν βλάστησιν ἀσαπῆ διαμένειν ἐν τῷ ὕδατι· φανερὸν δὲ γενέσθαι ἐν Φενεῷ τῆς Ἀρκαδίας ὅτε αὐτοῖς ἐλιμνώθη τὸ πεδίον φραχθέντος τοῦ βερέθρου· τότε γὰρ τὰς γεφύρας ποιοῦντες ἐλατίνας καὶ ὅταν ἐπαναβαίνῃ τὸ ὕδωρ ἄλλην καὶ ἄλλην ἐφιστάντες, ὡς ἐρράγη καὶ ἀπῆλθε πάντα εὑρεθῆναι τὰ
7. 6 H. ξύλα ἀσαπῆ. τοῦτο μὲν οὖν ἐκ συμπτώματος. ἐν Τύλῳ δὲ τῇ νήσῳ τῇ περὶ τὴν Ἀραβίαν εἶναί τί φασι ξύλον ἐξ οὗ τὰ πλοῖα ναυπηγοῦνται· τοῦτο δὲ ἐν μὲν τῇ θαλάττῃ σχεδὸν ἄσηπτον εἶναι· διαμένει γὰρ ἔτη πλείω ἢ διακόσια
6 St. καταβυθιζόμενον· ἐὰν δὲ ἔξω χρόνιον μὲν θᾶττον δὲ σήπεται. θαυμαστὸν δὲ καὶ ἕτερον λέγουσι, οὐδὲν δὲ πρὸς τὴν σῆψιν. εἶναι γάρ τι δένδρον ἐξ οὗ τὰς βακτηρίας τέμνεσθαι, καὶ γίνεσθαι καλὰς σφόδρα ποικιλίαν τινὰ ἐχούσας ὁμοίαν τῷ τοῦ τίγριος δέρματι· βαρὺ δὲ σφόδρα τὸ ξύλον τοῦτο· ὅταν δέ τις ῥίψῃ πρὸς
8. στερεώτερον τόπον κατάγνυσθαι καθάπερ τὰ κεράμια. καὶ τὸ τῆς μυρίκης δὲ ξύλον οὐχ ὥσπερ ἐνταῦθα ἀσθενὲς ἀλλ' ἰσχυρὸν ὥσπερ πρίνινον ἢ καὶ ἄλλο τι τῶν ἰσχυρῶν. τοῦτο μὲν οὖν ἅμα μηνύει χώρας τε καὶ ἀέρος διαφορὰς καὶ δυνάμεις. τῶν δὲ ὁμογενῶν ξύλων οἷον δρυΐνων πευκίνων, ὅταν ταριχεύωνται — ταριχεύουσι γὰρ οὐκ ἐν ἴσῳ βάθει πάντα δύοντες τῆς θαλάττης, ἀλλὰ τὰ μὲν πρὸς αὐτῇ τῇ γῇ τὰ δὲ μικρὸν ἀνωτέρω τὰ δ' ἐν πλείονι βάθει· πάντων δὲ τὰ πρὸς τὴν ῥίζαν θᾶττον δύεται καθ' ὕδατος, κἂν ἐπινῇ μᾶλλον ῥέπει κάτω.

CAP. V. Ἔστι δὲ τὰ μὲν εὔεργα τῶν ξύλων τὰ δὲ δύσεργα· εὔεργα μὲν τὰ μαλακὰ καὶ πάντων μάλιστα φίλυρα· δύσεργα δὲ καὶ τὰ σκληρὰ καὶ τὰ ὀζώδη καὶ οὐλας ἔχοντα συστροφάς· δυσεργότατα δὲ ἀρία καὶ δρῦς, ὡς δὲ κατὰ μέρος ὁ τῆς πεύκης ὄζος καὶ τῆς ἐλάτης. ἀεὶ δὲ τῶν ὁμογενῶν τὸ μαλακώτερον

τιτρᾶναι] corr. Sch.; *τιτράνια* St.; *τετράναι* Ald. H.

6. *γενέσθαι*] corr. Sch.; *γίνεσθαι* Ald. H. St.; *γίνεται* MV.

Φενεῷ] H. St. Sch.; *φανεῶι* UV; *φανεῶ* M; *φονέῳ* P; *φανεῷ* Ald.; *φνεῷ* mBas.; *faneum* G.; 9, 15, 6, et C. pl. 5, 14, 9 *φενεὸς* habet U, altero loco etiam Ald., ut scriptum est apud Strabonem, Diodorum, Aelian H. Anim. 3, 38, Hom. Il. 2, 605, Steph. Byz. s. v.

φραχθέντος] corr. Schn.; cf. 3, 1, 2; *βραχέντος* Ald. H. St., quod defendit Scal.; *φραγέντος* conj. Palmer. Ex. p. 600.

ἐπαναβαίνῃ] *ἐπανέβαινε* Vo.

7. *ἔξω χρόνιον μὲν*] Ald. H. Sch.; *ἔξω ᾖ, χρόνον μὲν διαμένει, θᾶττον* etc. St.

ἕτερον] *ξύλον* add. St.

οὐδὲν δὲ πρὸς] UMV Sch. e conj. Dalecamp.; *οὐδὲν πρὸς* Ald.; *καὶ περ' οὐδὲν πρὸς* H.; *καίπερ οὐδὲν πρὸς* St.; *quamquam nil ad putredinem spectans* G.

τέμνεσθαι] Ald. H. Sch.; *τέμνονται* MV St.

ποικιλίαν τινὰ] MV St.; *ποικ. δέ τινα* Ald. H. Sch.

ὁμοίαν] de corr.; *ὅμοιον* Ald. Edd. o.

ῥίψῃ] *αὐτὸ* add. St.

κατάγνυσθαι] U Sch.syll.; de conj. Palmerii Ex. p. 600 St.; *καταρίγνεσθαι* M; *καταριγνῆσθαι* V; *καταγίνεσθαι* Ald.; *κατάγεσθαι* mBas.

κεράμια] *κεράμεα* St.

8. *καὶ δρυΐνων*] Ald. Edd.; *καὶ* om. MV.

κἂν ἐπινῇ — κάτω] U Sch.syll. conj. Palmer. Ex. p. 600 e vers. Gazae: *vel si fluitent plus deorsum versus sano inclinantur; καὶ ἐπινεῖ μᾶλλον* Ald. H. St.; *καὶ ἐπινεύει μᾶλλον* cum Scalig. Schn.

CAP. V.

τὰ δὲ δύσεργα· εὔεργα μὲν] Ald. Edd. G.; *εὔεργα δὲ* ceteris omissis UMV. Si codicum lectio stare debeat, scribendum est: *εὔεργα δὲ τὰ μαλ. — φίλυρα· τὰ δὲ δύσεργα, τὰ σκληρὰ* etc.

οὐλας] Ald. Edd.; *οὐλα* U; *οὔλω* MV. Scriptura *οὐλα* ferri potest.

τοῦ σκληροτέρου χρεῖττον· σαρκωδέστερον γάρ· καὶ εὐθὺ σκοποῦνται τὰς σανίδας οἱ τέκτονες οὕτως. τὰ δὲ μοχθηρὰ σιδήρια δύναται τέμνειν τὰ σκληρὰ μᾶλλον τῶν μαλακῶν· ἀνίησι γὰρ ἐν τοῖς μαλακοῖς ὥσπερ ἐλέχθη περὶ τῆς φιλύρας, παρακονᾷ δὲ μάλιστα ταῦτα· διὸ καὶ οἱ σκυτοτόμοι ποιοῦνται τοὺς πίνακας ἀχράδος. μήτραν δὲ πάντα μὲν ἔχειν φασὶν οἱ τέκτονες φανερὰν δ' 2
εἶναι μάλιστα ἐν τῇ ἐλάτῃ· φαίνεσθαι γὰρ οἷον φλοιώδη τινὰ τὴν σύνθεσιν αὐτῆς τῶν κύκλων. ἐν ἐλάᾳ δὲ καὶ πύξῳ καὶ τοῖς τοιούτοις οὐχ ὁμοίως· διὸ καὶ οὔ φασί τινες ἔχειν τῇ δυνάμει πύξον καὶ ἐλάαν· ἥκιστα γὰρ ἕλκεσθαι ταῦτα τῶν ξύλων. ἔστι δὲ τὸ ἕλκεσθαι τὸ συμπεριΐστασθαι κινουμένης τῆς μήτρας. ζῇ γὰρ ὡς ἔοικεν ἐπὶ χρόνον πολύν· διὸ δ παντα χόθεν μὲν ἅμα μάλιστα δ' ἐκ τῶν θυρωμάτων ἐξαιροῦσιν ὅπως ἀστραβῇ ᾖ· καὶ διὰ τοῦτο σχίζουσιν. ἄτοπον δ' ἂν δόξειεν ὅτι ἐν μὲν τοῖς ξύλοις τοῖς στρογγύλοις ἄλυπος ἡ μήτρα καὶ 3.
ἀκίνητος, ἐν δὲ τοῖς παρακινηθεῖσιν ἐὰν μὴ ὅλως ἐξαιρεθῇ κινεῖ καὶ παραστρέφει· μᾶλλον γὰρ εἰκὸς γυμνωθεῖσαν ἀποθνήσκειν. ὅμως δὲ οἵ γε ἱστοὶ καὶ αἱ κεραῖαι ἐξαιρεθείσης ἀχρεῖοι. τοῦτο δὲ κατὰ συμβεβηκός, ὅτι χιτῶνας ἔχει πλείους, ἰσχυρότατον δὲ καὶ λεπτότατον δὲ τὸν ἔσχατον, ξηρότατον γάρ, καὶ τοὺς ἄλλους ἀνὰ λόγον. ὅταν οὖν σχισθῇ περιαιρεῖται τὰ ξηρότατα. εἰ δ' ἡ μήτρα διὰ τὸ ξηρὸν σκεπτέον. διαστρέφει δὲ ἑλκομένη τὰ ξύλα καὶ ἐν τοῖς 4.

εὐθὺ σκοποῦνται] Cam. H. St. Sch.; *εὐθυ σκοποῦνται* Ald.; *εὐθυσκοποῦνται* Bas.; *εὐθὺς σκ.* P.

τέμνειν τὰ σκληρὰ μᾶλλον τῶν μαλακῶν] P_2 mBas. e vers. Gazae: *ferrum viciatam duramque materiem magis quam mollem cedere valet*, ubi *viciatum duram* legendum; *τέμνειν τὰ σκληρὰ τῶν μαλακῶν* UM V Ald.; *τέμνειν μᾶλλον τὰ σκληρὰ τῶν μαλακῶν* H. St. Sch.

μάλιστα ταῦτα] P_2 Ald. H. St.; *μ. τὰ σκληρά* Schn.

ἀχράδος] P_2 Ald. H.; *ἐξ ἀχρ.* mBas. St., i. u. Sch., damnat vero praepositionem in Comm.

2. *ἔχειν φασὶν*] corr. Sch.; *ἔχει ᾗ φασὶν* Ald. H.; *ἔχ. τὰ ξύλα ᾗ φ.* St.

σύνθεσιν] *σύνεσιν* M.

οὔ φασί] *οὐ* om. P.

τῇ δυνάμει] *τὴν μήτραν* St. Subridicule Spr.: *dass es beiden an der Kraft (des Kernholzes) fehle; medulla omnino carere* G.

ἐλάαν] corr. Scalig. Moldenh. St. Sch.; *ἐλάτην* Ald. H.; *oleam* G.

ἥκιστα γὰρ] mBas. Vo. St. Sch.; *minime* G.; *μάλιστα γ.* Ald. H.

κινουμένης τῆς μήτρας] Ald. H. St.; *κινουμένῃ τῇ μήτρᾳ* Sch. cum Dalec. — Paulo ante *ἕσται* UMV.

ἅμα] Vox dubia; Daleeamp. substituit ei *τὴν μήτραν*, Sch. *ἅμα πᾶσιν* fuisse conjicit. Neutrum verum, illud tamen a vero propius; facilius scribi posset *αὐτὴν*. *διὸ μὲν ἅμα πάντ.* St.

θυρωμάτων] sic corr. Schn.; *γυρωμάτων* Ald. Edd.; *circis* G.

ἀστραβῇ ᾖ] dedi e conj. Dalec., qui *ᾖ ἀστραβῆ* voluit; *ἀστραβῆ* UMV Ald.; *ἀ. διαμένῃ* H. St. Sch.; *quo intorti permaneant* G.

σχίζουσιν] *σχάζουσιν* et mox *σχασθῇ* conj. Dalec.

3. *παρακινηθεῖσι*] *παρακνισθεῖσι* conj. Daleeamp. Mihi *πελεκηθεῖσι* vel *παραπελεκηθεῖσι* fuisse videtur.

ὅμως δὲ οἵ γε] *ὅμως δέ γε οἱ γε* P.

ἐξαιρεθείσης] *τῆς μήτρας* add. St.

ἔχει πλείους] corr. Sch.; *quoniam plerisque vestitur tunicis* G.; *ἔχει ἄλλους* Ald. H. St.; *ἔχει πολλοὺς* conj. Dal.; *ἔχει ἄλλας* M.

λεπτ. δὲ] UMV; *δὲ* om. Ald. Edd. o.

ἀνὰ λόγον] *ἀνάλογον* Ald. Edd. o.

εἰ δ' ἡ μήτρα] mBas. Vo. H. St. Sch., qui omnes *δέ* plene scriptum habent; *ἡ δὲ μ.* UMV Ald.; *an vero sicci ratione medulla constet, quaerendum* G. Post *ξηρὸν* addit *διαστρέφει* St. Sensum nemo interpretum reclusit: fortasse vitium subest. *Ob man aber den Kern seiner Trockenheit wegen wegnimmt* etc. Spreng.

4. *διαστρέφει δὲ*] *διαστρεφομένη* P.

σχιστοῖς καὶ πριστοῖς ὅταν μὴ ὡς δεῖ πρίωσι· δεῖ γὰρ ὀρθὴν τὴν πρίσιν εἶναι καὶ μὴ πλαγίαν. οἷον οὔσης τῆς μήτρας ἐφ' ἣν τὸ α, μὴ παρὰ τὴν βγ τέμνειν, ἀλλὰ παρὰ τὴν βδ· φθείρεσθαι γὰρ οὕτω φασὶν ἐκείνως δὲ ζῆν. ὅτι δὲ πᾶν
7 H. ξύλον ἔχει μήτραν ἐκ τούτων οἴονται· φανερὸν γάρ ἐστι καὶ τὰ μὴ δοκοῦντα πάντ' ἔχειν οἷον πύξου λωτὸν πρῖνον. σημεῖον δέ· τοὺς γὰρ στρόφιγγας τῶν θυρῶν τῶν πολυτελῶν ποιοῦσι μὲν ἐκ τούτων, συγγράφονται δὲ οἱ ἀρχιτέκτονες οὕτως ἐκ μήτρας. ταὐτὸ δὲ τοῦτο σημεῖον καὶ ὅτι πᾶσα μήτρα ἕλκεται, καὶ
5. αἱ τῶν σκληροτάτων ἃς δή τινες καρδίας καλοῦσι. παντὸς δὲ ὡς εἰπεῖν ξύλου σκληροτάτη καὶ μανοτάτη ἡ μήτρα, καὶ αὐτῆς τῆς ἐλάτης· μανοτάτη μὲν οὖν ὅτι τὰς ἴνας ἔχει καὶ διὰ πολλοῦ καὶ τὸ σαρκῶδες τὸ ἀνὰ μέσον πολύ· σκληροτάτη δὲ ὅτι καὶ αἱ ἶνες σκληρόταται καὶ τὸ σαρκῶδες· δι' ὃ καὶ οἱ ἀρχιτέκτονες συγγράφονται παραιρεῖν τὰ πρὸς τὴν μήτραν ὅπως λάβωσι τοῦ ξύλου τὸ πυκνότα-
6. τον καὶ μαλακώτατον. τῶν δὲ ξύλων τὰ μὲν σχιστὰ τὰ δὲ πελεκητὰ τὰ δὲ στρογγύλα· σχιστὰ μὲν ὅσα διαιροῦντες κατὰ τὸ μέσον πρίζουσι· πελεκητὰ δὲ ὅσων ἀποπελεκῶσι τὰ ἔξω· στρογγύλα δὲ δῆλον ὅτι τὰ ὅλως ἄψαυστα. τούτων δὲ τὰ σχιστὰ μὲν ὅλως ἀρραγῆ διὰ τὸ γυμνωθεῖσαν τὴν μήτραν ξηραίνεσθαι καὶ ἀποθνήσκειν· τὰ δὲ πελεκητὰ καὶ τὰ στρογγύλα ῥήγνυται· μᾶλλον δὲ πολὺ τὰ στρογγύλα διὰ τὸ ἐναπειλῆφθαι τὴν μήτραν· οὐδὲν γὰρ ὅτι τῶν ἁπάντων οὐ ῥήγνυται. τοῖς δὲ λωτίνοις καὶ τοῖς ἄλλοις οἷς εἰς τοὺς στρόφιγγας χρῶνται πρὸς τὸ μὴ ῥήγνυσθαι βόλβιτον περιπλάττουσιν ὅπως ἀναξηρανθῇ καὶ διαπνευσθῇ κατὰ μικρὸν ἡ ἐκ τῆς μήτρας ὑγρότης. ἡ μὲν οὖν μήτρα τοιαύτην ἔχει δύναμιν.

τὸ α] τὸ πρῶτον MP. Deinceps καὶ addit Ald. H., quod om. St. Sch. — Ante τὸ α inserit δεῖ τέμνειν St.

οἴονται· φανερὸν] Ald. Edd.; οἴονται φανερόν. Φανερὸν γ. ε. Sch.cont., in Comm. mavult οἴονται φανερὸν εἶναι· ἔτι καὶ τὰ etc.; οἴονται· φανερὸν δ' ἐστὶ καί τινα μὴ δοκ. St.

τὰ μὴ δοκ.] H. Sch.; quas carere putaveris G.; τὰ δοκ. UMV Ald. omissa negatione. — Dein πάντως St.

συγγράφονται — οὕτως ἐκ μήτρας] Ald. H. Sch. Verum haec sensu cassa sunt, quamobrem St. οὐκ ἐκ μήτρας ποιεῖν scripsit. Primum vix dubitari potest quin αὐτοὺς pro οὕτως scribendum sit. Dein quaeritur num architecti strophiggas e medulla fieri jusserint an vetuerint. Vetuisse videntur quoniam ut omnis sic etiam loti buxi primi medulla contorsioni esset obnoxia. Quare αὐτοὺς μὴ ἐκ μ. scribendum esse censeo.

ταὐτὸ] αυτὸ H.; αὐτὸ St.

5. ξύλου σκληροτάτη καὶ μαν.] emendavit Sch.; ξύλον σκληρότατον καὶ μανοτάτη U et omisso καὶ MV; ξύλου σκληροτάτου μανοτάτη Ald. H. St.

αὐτῆς τῆς] αὖ τῆς St.

ἔχει] V mBas. Vo. St. Sch.; ἐκεῖ UM Ald. H.

σκλ. καὶ τὸ σ.] σκλ. καὶ οὐ τὸ σ. St.; καὶ om. P.

6. ἀποπελεκῶσι] solus Sch.; ἀποπλεκῶσι UM; ἀποπλέκουσι Ald.; ἀποπελέκουσι mBas. St.; ἀποιλεκῶσι H.

τὰ σχιστὰ] τάχιστα M.

ῥήγνυται· μᾶλλον — στρογγύλα] UMVP Schn. et G. *et rotunda rimas admittunt longeque magis rotunda*; om. Ald. H. St.

ἐναπειλῆφθαι] Bas. St. Sch.; ἐν ἀπειλῆφθαι Ald. Cam. H.; *quod medulla in his lateribus plenioribus circumdatur* G.: ἐναπολῆφθαι P.

τὴν μήτραν] Ex errore additum est οὖ in edit. Sch., quod Schaefer in Melet. Crit. p. 96 addere jusserat scriptura codicum nondum cognita.

οἷς] P H. St. Sch.; οἳς Ald.; om. Cam.

βόλβιτον] Ald. Edd. In Syll. atticum βόλιτον reponere jubet Sch.

περιπλάττουσι] corr. Sch.; *illinunt* G.; περιπάττουσιν Ald. H. St.

ἀναξηρανθῇ] corr. Sch.; ἀναξηράνῃ Ald. H. St.

Cap. VI. Βάρος δὲ ἐνεγκεῖν ἰσχυρὰ καὶ ἡ ἐλάτη καὶ ἡ πεύκη πλάγιαι τιθέμεναι· οὐδὲν γὰρ ἐνδιδόασιν ὥσπερ ἡ ὀρῦς καὶ τὰ γεώδη ἀλλ' ἀντωθοῦσι· σημεῖον δὲ ὅτι οὐδέποτε ῥήγνυνται καθάπερ ἐλάα καὶ ὀρῦς ἀλλὰ πρότερον σήπονται καὶ ἄλλως ἀπαυδῶσιν. ἰσχυρὸν δὲ καὶ ὁ φοῖνιξ· ἀνάπαλιν γὰρ ἡ κάμψις ἢ τοῖς ἄλλοις γίνεται· τὰ μὲν γὰρ εἰς τὰ κάτω κάμπτεται ὁ δὲ φοῖνιξ εἰς τὰ ἄνω. φασὶ δὲ καὶ τὴν πεύκην καὶ τὴν ἐλάτην ἀντωθεῖν. τὸ δὲ τῆς εὐβοϊκῆς καρύας, γίνεται γὰρ μέγα καὶ χρῶνται πρὸς τὴν ἔρεψιν, ὅταν μέλλῃ ῥήγνυσθαι ψοφεῖν ὥστε προαισθάνεσθαι πρότερον· ὅπερ καὶ ἐν Ἀντάνδρῳ συνέπεσεν ἐν τῷ βαλανείῳ καὶ πάντες ἐξεπήδησαν. ἰσχυρὸν δὲ καὶ τὸ τῆς συκῆς πλὴν εἰς ὀρθόν. ἡ δὲ ἐλάτη μάλιστα ὡς εἰπεῖν ἰσχυρόν. πρὸς δὲ τὰς τῶν τεκτόνων 2.
χρείας ἐχέκολλον μὲν μάλιστα ἡ πεύκη διά τε τὴν μανότητα καὶ τὴν εὐθυπορίαν· οὐδὲ γὰρ ὅλως οὐδὲ ῥήγνυσθαί φασιν ἐὰν κολληθῇ. εὐτορνότατον δὲ φιλύκη, καὶ ἡ λευκότης ὥσπερ ἡ τοῦ κηλάστρου. τῶν δὲ ἄλλων ἡ φίλυρα· τὸ γὰρ ὅλον εὔεργον ὥσπερ ἐλέχθη διὰ μαλακότητα. εὔκαμπτα δὲ ὡς μὲν ἁπλῶς εἰπεῖν ὅσα γλίσχρα. διαφέρειν δὲ δοκεῖ συκάμινος καὶ ἐρινεὸς ὅτι δ καὶ τὰ ἰκρία καὶ τὰς στεφάνας καὶ ὅλως ὅσα περὶ τὸν κόσμον ἐκ τούτων ποιοῦσι. εὔπριστα δὲ καὶ εὔσχιστα τὰ ἐνικμότερα τῶν πάμπαν ξηρῶν· τὰ μὲν γὰρ 3 Sch. St.
παύονται τὰ δὲ ἵστανται· τὰ δὲ χλωρὰ λίαν συμμύει καὶ ἐνέχεται ἐν τοῖς ὀδοῦσι τὰ πρίσματα καὶ ἐμπλάττει, διὸ καὶ παραλλάττουσιν ἀλλήλων τοὺς ὀδόντας ἵνα ἐξάγηται. ἔστι δὲ καὶ δυστρυπητότερα τὰ λίαν χλωρά· βραδέως γὰρ

Cap. VI.

πλάγιαι] corr. Schn. e Plinio 16, 42 s. 81 *in transversum positae*; *ἀπαλαὶ* Ald. H.; *ἀνάπαλιν* St.

ῥήγνυνται] Ald. Edd.; *ῥήγνυται* UMVP.

γὰρ ἡ καμ.] UV Sch.; *γὰρ καὶ ἡ κ.* Ald. H. St.; *δὲ ἡ. κ.* mavult Sch. in Iud. p. 530. Cf. Plut. Sympos. VIII. p. 724, e.

φασὶ — ἀντωθεῖν] Ni aliud inest vitium, *ἄνω* ante *ἀντωθεῖν* excidisse videtur. *ἀνθεῖν* P$_2$.

τὸ δὲ τῆς] *καὶ τοι περὶ τῆς* St.

ἔρεψιν] *ἔψησιν* P.

ψοφεῖν] U; *ψόφοις* P$_2$ MV Ald.; *ψοφεῖ* e corr. Scal. St. Sch. — Paulo antea *μέλῃ* H., dein *ὅσπερ* St.

καὶ τὸ τ. σ.] UMVP Sch.; *καὶ* om. Ald. Edd. „Ceterum scriptura *συκῆς* vera esse non potest: mollissima enim hujus materia est: fortasse *συκαμίνου* fuit scriptum.“ Sch. in Comm. Post *συκῆς* addit *ξύλον* St.

ὀρθὸν] *ὄρθρον* U. — Mox *δὲ* om. St.

2. *ἐχέκολλον*] U; idem conjectura inventum ab Arcerio apud Bodaeum et Salmasio — Plin. *sociabilis glutino* — dederunt St. Sch.; *ἰχέκαλλον* Ald. H.; *ἐχέκαλον* MV.

μὲν μάλιστα ἡ πεύκη διά τε τὴν] U Sch. syll.; *μὲν μάλιστα ἡ ἐλάτη διὰ τη τὴν* M; *μάλιστα ἡ ἐλάτη διὰ τη την* V; *μάλιστα ἡ ἐλάτη διὰ τὴν* Ald.; *μάλ. ἡ πεύκη διὰ τὴν* H. St.; denique *ἰσχυρὸν πρὸς τὰς τῶν τεκτόνων χρείας ἐχέκολλον γὰρ μάλιστα ἡ ἐλάτη διά τε τὴν* Schn. cont.; *Pinus omnium fere maxime viribus valet: et ad usum edificatorium spectabilis eadem potissimum est: laxitatis rectitudinisque meatuum causa* G.

ἐὰν κολληθῇ] U H. St. Sch.; *ἐὰν δὲ κ.* MV Ald.

εὐτορνότατον] U Sch. syll.; *εὐτονώτατον* Ald. H. St.; *ἀτονώτατον* cum Bod. Sch. cont.; *obedientissima* G.

φιλύκη] Ald. H.; *ἡ φιλ.* St. Sch.

λευκότης] *αὐτῆς* add. St.

ὥσπερ ἡ] *ἡ* om. P.

εὔκαμπτα] *εὔκαμπα* Bas.

τὰ ἰκρία] *τὰς ἰτύας* margini adscripsit Spr. in exempl. suo edit. Schn.

3. *τῶν πάμπαν*] *τῶν μὴ π.* St.

ἵστανται] *ἵστανται* U. — G. verbis *τὰ μὲν παύονται* omissis *altera enim constant.*

ἐνέχεται] U, Sch. de conj.; *ἐνδέχεται* Ald. H, St.; *admittunt* G.

ἐμπλάττει] UMV Ald. Sch.; *ἐμπλήθει* H. St.; *implent* G.

τὰ λίαν χ.] U St. Sch.; *τὰ* om. Ald. H.

ἀναφέρεται τὰ ἐκτυπήματα διὰ τὸ βαρέα εἶναι· τῶν δὲ ξηρῶν ταχέως καὶ εὐθὺς ὁ ἀὴρ ἀναθερμαινόμενος ἀναδίδωσι· πάλιν δὲ τὰ λίαν ξηρὰ διὰ τὴν σκληρότητα δύσπριστα· καθάπερ γὰρ ὄστρακον συμβαίνει πρίειν, διὸ καὶ τρυπῶντες ἐπιβρέχουσιν. 4. εὐπελεκητότερα δὲ καὶ εὐτορνότερα καὶ εὐξοώτερα τὰ χλωρά· προσκάθηταί τε γὰρ τὸ τορνευτήριον μᾶλλον καὶ οὐκ ἀποπηδᾷ. καὶ ἡ πελέκησις τῶν μαλακωτέρων ῥᾴων καὶ ἡ ξέσις δὲ ὁμοίως καὶ ἔτι λειοτέρα. ἰσχυρότατον δὲ καὶ ἡ κρανεία, τῶν δὲ ἄλλων οὐχ ἥκιστα ἡ πτελέα, διὸ καὶ τοὺς στροφέας ὥσπερ ἐλέχθη ταῖς θύραις πτελείνους ποιοῦσιν. ὑγρότατον δὲ μελία καὶ ὀξύη· καὶ γὰρ τὰ κλινάρια τὰ ἐνδιδόντα ἐκ τούτων.

Cap. VII. Ὅλως δὲ πρὸς ποῖα τῆς ὕλης ἑκάστη χρησίμη καὶ ποία ναυπηγήσιμος καὶ οἰκοδομικὴ, πλείστη γὰρ αὐτῆς χρεία καὶ ἐν μεγίστοις, πειρατέον εἰπεῖν, ἀφορίζοντα καθ' ἕκαστον τὸ χρήσιμον. ἐλάτη μὲν οὖν καὶ πεύκη καὶ κέδρος ὡς ἁπλῶς εἰπεῖν ναυπηγήσιμα· τὰς μὲν γὰρ τριήρεις καὶ τὰ μακρὰ πλοῖα ἐλάτινα ποιοῦσι διὰ κουφότητα, τὰ δὲ στρογγύλα πεύκινα διὰ τὸ ἀσαπές· ἔνιοι δὲ καὶ τὰς τριήρεις διὰ τὸ μὴ εὐπορεῖν ἐλάτης. οἱ δὲ κατὰ Συρίαν καὶ Φοινίκην ἐκ κέδρου· σπανίζουσι γὰρ καὶ πεύκης. οἱ δ' ἐν Κύπρῳ πίτυος· ταύ- 2. την γὰρ ἡ νῆσος ἔχει καὶ δοκεῖ κρείττων εἶναι τῆς πεύκης. καὶ τὰ μὲν ἄλλα ἐκ τούτων· τὴν δὲ τρόπιν τριήρει μὲν δρυΐνην ἵνα ἀντέχῃ πρὸς τὰς νεωλκίας ταῖς δὲ ὁλκάσι πευκίνην· ὑποτιθέασι δ' ἔτι καὶ δρυΐνην ἐπὰν νεωλκῶσι, ταῖς δ' ἐλάττοσιν ὀξυΐνην· καὶ ὅλως ἐκ τούτου τὸ χέλυσμα. οὐχ ἅπτεται δὲ οὐδὲ κατὰ τὴν κόλλησιν ὁμοίως τὸ ὀρύϊνον τῶν πευκίνων καὶ ἐλατίνων· τὰ μὲν γὰρ πυκνὰ τὰ δὲ μανὰ καὶ τὰ μὲν ὅμοια τὰ δ' οὔ. δεῖ δὲ ὁμοιοπαθῆ εἶναι τὰ μέλ- 3. λοντα συμφύεσθαι καὶ μὴ ἐναντία καθαπερανεὶ λίθον καὶ ξύλον. ἡ δὲ τορνεία

τῶν δὲ ξηρῶν] G. mBas. Scal. St. Sch.; *τ. δὲ δρυῶν* Ald. H.

τὰ λίαν ξηρὰ] dedit Schn. de conj. Stackhousii, qui omisso *δὲ* scripsit *πάλιν τὰ λίαν ξηρὰ*; *τὰ λεῖα καὶ ξηρὰ* Ald. H.; *levia ac sicca* G.

καθάπερ γὰρ ὀ.] P, de conj. H. St. Sch.; *γὰρ* om. UM Ald.; *Evenit nanque* G.

4. *προσκάθηταί τε*] UMV Sch.; *τε* om. Ald. H. St.

πελέκησις τῶν] UMV; *π. διὰ τῶν* Ald. H. St.; *π. δὲ τῶν* Sch.

δὲ ὁμ.] UMV Sch.; *δὲ* om. Ald. Edd.

ὀξύη] *ὀξύει* Cam.; *ὀξύνη* H.

Cap. VII.

αὐτῆς] Ald. Edd.; *αυτῆ* U; *αὐτῇ* MV. Scribendum est, ni fallor, *αὕτη ἡ χρεία*, ut fere G.: *Nam hujusmodi usus plurimus summisque operibus adhibendus est.*

μὲν οὖν καὶ] U Ald. Edd.; *οὖν* om. St.

μακρὰ] Ald. Edd. o. G.; *μικρὰ* P.

γὰρ καὶ π.] UMV Sch.; *καὶ* om. Ald. H. St.; *quia pino etiam egent* G.

2. *τὰ μὲν ἄλλα* cum Vin. et Vo. Sch.; *τὰ μὲν ἔνια* Ald. Edd.; *et cetera quidem ex his* G. — Equidem dubito quin *ἄλλα* sit vera scriptura; an *τὸ μὲν κύτος* scriptum fuit?

τρόπιν] *τρόπην* M.

τριήρει] dedi de conj.; *τριήρη* U; *τριήρης* MV; *τριήρεσι* Ald. Edd. — *ἀντέχει* M.

νεωλκῶσι] *νεολκῶσι* P.

ταῖς δ' ἐλάττοσιν ὀξυΐνην] dedi cum Schn., nisi quod *ταῖς* pro *τοῖς* scripsi; *τοῖς μὲν ἐλάττοσιν ὀξύη* Ald.; *τ. μ. ἐλάττοσι ὀξύνη* H. et St qui *ὀξύνην* scripsit.

οὐχ ἅπτεται] Haec omnia usque ad verba *λίθον καὶ ξύλον* hoc loco minime apta sunt; interpellant enim importune ordinem rerum, ac nescio an recte Schn. suspicatus sit haec e fine §. quartae huc migravisse.

καθαπερανεὶ] U; *καθαπερεὶ* Ald. Edd. *καθαπερ νεὶ* MV.

3 *τορνεία*] *tornatus* G.; *opus tornatile* explicat Scaliger. Equidem vitiosum esse judico; hoc enim si indicare voluisset aliud scripsisset vocabulum. Nihil in promtu est, nisi velis *αἱ παρειαὶ* scribere, *partes prorae laterales*. Interpunctionem a Schneidero male administratam restitui.

τοῖς μὲν πλοίοις γίνεται συκαμίνου μελίας πτελέας πλατάνου· γλισχρότητα γὰρ ἔχειν δεῖ καὶ ἰσχύν. χειρίστη δὲ ἡ τῆς πλατάνου· τάχυ γὰρ σήπεται. ταῖς δὲ τριήρεσιν ἔνιοι καὶ πιτυΐνας ποιοῦσι διὰ τὸ ἐλαφρόν. τὸ δὲ στερέωμα πρὸς ᾧ τὸ χέλυσμα καὶ τὰς ἐπωτίδας μελίας καὶ συκαμίνου καὶ πτελέας· ἰσχυρὰ γὰρ δεῖ ταῦτ' εἶναι. ναυπηγήσιμος μὲν οὖν ὕλη σχεδὸν αὕτη. οἰκοδομικὴ δὲ πολλῷ πλείων, ἐλάτη τε καὶ πεύκη ἔτι κυπάριττος ὀρῦς καὶ κέδρος καὶ ἄρκευθος· ὡς δ' ἁπλῶς εἰπεῖν πᾶσα χρησίμη πλὴν εἴ τις ἀσθενὴς πάμπαν· οὐκ εἰς ταὐτὸ γὰρ πᾶσαι καθάπερ οὐδ' ἐπὶ τῆς ναυπηγίας. αἱ δ' ἄλλαι πρὸς τὰ ἴδια τῶν τεχνῶν οἷον σκεύη καὶ ὄργανα καὶ εἴ τι τοιοῦτον ἕτερον. πρὸς πλεῖστα δὲ σχεδὸν ἡ ἐλάτη παρέχεται χρείαν· καὶ γὰρ πρὸς τοὺς πίνακας τοὺς γραφομένους. τεκτονικῇ μὲν οὖν ἡ παλαιοτάτη κρατίστη ἐὰν ᾖ ἀσαπής· εὐθετεῖ γὰρ ὡς εἰπεῖν πᾶσι χρῆσθαι· ναυπηγικῇ δὲ διὰ τὴν κάμψιν ἐνικμοτέρᾳ ἀναγκαῖον· ἐπεὶ πρός γε τὴν κόλλησιν ἡ ξηροτέρα συμφέρει. ἵσταται γὰρ καινὰ τὰ ναυπηγούμενα καὶ ὅταν συμπαγῇ καθελκυσθέντα συμμύει καὶ στέγει πλὴν ἐὰν μὴ παντάπασιν ἐξικμασθῇ· τότε δὲ οὐ δέχεται κόλλησιν ἢ οὐχ ὁμοίως. δεῖ δὲ καὶ καθ' ἕκαστον λαμβάνειν εἰς ποῖα χρήσιμός ἐστιν. ἐλάτη μὲν οὖν καὶ πεύκη καθάπερ εἴρηται καὶ πρὸς ναυπηγίαν καὶ πρὸς οἰκοδομίαν καὶ ἔτι πρὸς ἄλλα τῶν ἔργων, εἰς πλείω δὲ ἡ ἐλάτη. πίτυϊ δὲ χρῶνται μὲν εἰς

4 5

πρὸς ᾧ τὸ χέλυσμα] corr. fere cum Scalig. Schn.; *πρόσω· τὸ σχέλομα* Ald.; *πρόσω τὸ σχέλωμα* V; *τὸ σχέλομα* M; *τὸ χωλ σμα* corr. *χέλυσμα* U; *πρόσω· τὸ δὲ χέλυσμα* m Bas. Vo. St.; *πρόσω· τὸ δὲ σχέλομα* H. Gaza legisse videtur: *ἐλαφρὸν τὸ στερέωμα· τὸ δὲ χέλυσμα* etc.

ἐπωτίδας] Bas. H. St. Sch.; *ἐποτίδας* Ald. Cam.

4. *πλείων*] Ald. Edd.; *πλείω* U.

ἐλάτη — ἄρκευθος] sic concinnavi scripturam e librorum vestigiis; *ἐλάτη τε καὶ πεύκη καὶ κέδρος ἔτι κυπάριττος ὀρῦς πεύκη καὶ κέδρος ἄρκευθος* U; *ἐλ. τε καὶ π. καὶ κ. καὶ ἄρκ.* Ald. H. St. Sch.; sic etiam MV sed ultimo *καὶ* omisso; *ἐλ. τε καὶ π. καὶ κέ. καὶ ἄρκ. ἔτι κυπάριττος ὀρῦς* Schn.syll. Sic scripsi ut ordine quodam arbores nominatae sint, primum *abies* et *pinus*, ut natura sua sic usu proximae, dein ceterae minus vulgares, in fine *cedrus* et *juniperus* et ipsae affines. Neque tamen nego ex codicis U vestigiis non minus recte scribi posse: *ἐλάτη τε καὶ πεύκη καὶ κέδρος ἔτι κυπάριττος ὀρῦς ἄρκευθος*.

ὡς δ' ἁπλῶς εἰπεῖν] sic correxi; *ἁπλῶς δ' ὡς εἰπ.* Ald. Edd. — Dein *πάση* H. St.

εἴ τις] *εἴ τι* U.

πᾶσα] Ald. H. St.; *πᾶσα* Sch.

ἡ παλαιοτάτη κρατ.] UP Sch.; *ἡ παλ. ᾖ κρ.* Ald.; *ἡ παλ. ἡ κρ.* H. St.; *ἡ παλαιότητι ἡ κρ.* MV. Deinceps *ἰασαπὴς* M.

δὲ — ἀναγκαῖον] dedi cum UMV, mutato tamen *ἐνικμοτέραν* in *ἐνικμοτέρᾳ*; *δὲ ἡ ἐνικμοτέρα διὰ τὴν κάμψιν ἀναγκαῖον* Ald. et H. qui *ἀναγκαῖα* dedit; *δὲ ἡ ἐνικμοτέρα· διὰ τὴν κ. γὰρ ἀναγκαῖα* St.; *δὲ διὰ τὴν κάμψιν ἡ ἐνικμοτέρα ἀναγκαία* Sch.

ἵσταται γὰρ καινὰ] dedi de conj. Schneideri in Comm.; *ἵστ. γὰρ καὶ νῦν* Ald. Edd. o. Deinde pro *συμπίῃ*, quod Ald. Edd. habent, scripsi *συμπαγῇ* ut sententia haec sit: Materies navalis ubi compacta est statim per aliquod tempus sub dio collocatur; dein quando glutine conjuncta sit in mare protracta coalescendo omnes rimas operit. Tamen vereor ne in verbis *ἵσταται γὰρ καὶ νῦν* gravius haereat vitium. Longe alia habuit G.: *Navis enim compacta: ut extra mare fidelior constat: et in mare protracta humorem imbibito* (an imbibit?)*: se undique protinus comprimit atque rimis conjunctis omnibus continuat: nisi quicquam penitus exariuerit.*

ὅταν] *ὅσα ἂν* P.

πλὴν ἐὰν μὴ] sic correxi; *π. ἐάν τε* M; *π. ἐὰν γε* Ald. Edd. Apertum est Th. dicere materiem siccam esse debere quae glutine conjungenda sit.

5. *καὶ καθ' ἕκ.*] U Sch.syll.; *καὶ* om. Ald. Edd.; *νῦν καθ' ἕκ.* Sch.cont.

ἄμφω καὶ οὐχ ἧττον εἰς ναυπηγίαν, οὐ μὴν ἀλλὰ τάχυ διασήπεται. δρῦς δὲ πρὸς οἰκοδομίαν καὶ πρὸς ναυπηγίαν ἔτι τε πρὸς τὰ κατὰ γῆς κατορυττόμενα. φίλυρα δὲ πρὸς τὰ σανιδώματα τῶν μακρῶν πλοίων καὶ πρὸς κιβώτια καὶ πρὸς τὴν τῶν μέτρων κατασκευήν. ἔχει δὲ καὶ τὸν φλοιὸν χρήσιμον πρός τε τὰ
6. σχοινία καὶ πρὸς τὰς κίστας· ποιοῦσι γὰρ ἐξ αὐτῆς. σφένδαμνός τε καὶ ζυγία πρὸς κλινοπηγίαν καὶ πρὸς τὰ ζυγὰ τῶν λοφούρων. μίλος δὲ εἰς παρακολλήματα κιβώτοις καὶ ὑποβάθροις καὶ ὅλως τοῖς τοιούτοις. πρῖνος δὲ πρὸς ἄξονας ταῖς μονοστρόφοις ἁμάξαις καὶ εἰς ζυγὰ λύραις καὶ ψαλτηρίοις. ὀξύη δὲ πρὸς ἁμαξοπηγίαν καὶ διφροπηγίαν τὴν εὐτελῆ. πτελέα δὲ πρὸς θυροπηγίαν καὶ γαλεάγρας· χρῶνται δὲ καὶ εἰς τὰ ἁμαξικὰ μετρίως. πηδὸς δὲ εἰς ἄξονάς τε ταῖς ἁμάξαις καὶ εἰς ἕλκηθρα τοῖς ἀρότροις. ἀνδράχλη δὲ ταῖς γυναιξὶν εἰς τὰ περὶ τοὺς ἱστούς. ἄρκευθος δὲ εἰς τεκτονίας καὶ εἰς τὰ ὑπαίθρια καὶ
7. εἰς τὰ κατορυττόμενα κατὰ γῆς διὰ τὸ ἀσαπές. ὡσαύτως δὲ καὶ ἡ εὐβοϊκὴ καρύα, καὶ πρός γε τὴν κατόρυξιν ἔτι μᾶλλον ἀσαπής. πύξῳ δὲ χρῶνται μὲν πρὸς ἔνια, οὐ μὴν ἀλλ' ἥ γε ἐν τῷ Ὀλύμπῳ γινομένη διὰ τὸ βραχεῖά τε εἶναι καὶ ὀζώδης ἀχρεῖος. τερεβίνθῳ δὲ οὐδὲν χρῶνται πλὴν τῷ καρπῷ καὶ τῇ ῥητίνῃ. οὐδὲ φιλύκῃ πλὴν τοῖς προβάτοις· ἀεὶ γάρ ἐστι δασεῖα. τῇ δὲ ἀφάρκῃ εἰς χάρακάς τε καὶ τὸ καίειν. κηλάστρῳ δὲ καὶ σημύδᾳ πρὸς βακτηρίας. ἔνιοι δὲ καὶ δάφνῃ· τὰς γὰρ γεροντικὰς καὶ κούφας ταύτης ποιοῦσιν. ἰτέᾳ δὲ πρός τε τὰς ἀσπίδας καὶ τὰς κίστας καὶ τὰ κανᾶ καὶ τἆλλα. προσαναλαβεῖν
8. δέ ἐστι καὶ τῶν ἄλλων ἕκαστον ὁμοίως. διῄρηται δὲ καὶ πρὸς τὰ τεκτονικὰ
υH.8St. τῶν ὀργάνων ἕκαστα κατὰ τὴν χρείαν· οἷον σφυρίον μὲν καὶ τερέτριον ἄριστα

δρῦς] *δρυὶ* dedit St. et sic sequentia nomina usque ad *ἀρκεύθῳ*.

ἔτι τε] UM; *ἔτι δὲ* Ald. Edd.

τὰ σχοινία καὶ πρὸς] UMVP Sch.; om. Ald. Edd. St. interpunctione mutata *ἔχει καὶ* scripsit.

ποιοῦσι — αὐτῆς] Haec inutilia sunt ac vitiosa esse videntur; an fuit *πλέκουσι? αὐτοῦ* ded. H.

6. *τε καὶ*] UMV Ald. H.; *δὲ καὶ* Sch.

πρός] *πρός τε κλ.* H. St. — Dein *ξύγα* St.

ἄξονας ταῖς μονοστρόφοις ἁμάξαις] corr. Schn.syll.; *ἄξονάς τε καὶ μονοστρόφοις ἁμάξαις* UMV; *ἄξονάς τε καὶ μονοστρόφους ἁμάξας* Ald. Edd. o.

εἰς ζυγὰ λύραις] USch.syll.; *ἢ ζυγαλύραις* MV; *ὀξυγα λύρας* P; *ὀξυγα λύραις* Ald.; *πρὸς ξύγα λ.* H. St.; *πρὸς ζύγα ταῖς λύραις καὶ τοῖς ψαλτηρίοις* Sch.cont. — Dein *ψαλτήρια* P.

ὀξύη] UMV Sch.; *ὀξύα* Ald. Edd.

θυροπηγίαν] *θυροπηγίας* U.

γαλεάγρας] U H. St. Sch.; *γαλιάγρας* Ald.

πηδὸς] V Sch.; *πήδος* M; *πηδος* U; *πῆδος* P; *πύξος* Ald. Edd. In Comm. Schn. suspicatur *φηγὸς* scribendum esse. 4, 1, 3 est *πάδος*. Cf. Etym. M. 118, 45. 669, 39. Eustath. p. 613.

ἀνδράχλη] *ἀνδράχνη* Ald. Edd. o. Cf. ad 1, 5, 2.

τεκτονίας] Vox merito Schneidero suspecta.

7 *πρός γε τὴν*] Ald. Edd.; *πρός τε τ.* U; *πρός τι τὴν* M.

ἀσαπής] U Sch.syll.; *ἀπάσης* Ald. Edd. o.

τερεβίνθῳ] Sch.syll.; *τερεμίνθῳ* UM; *τερμίνθῳ* Ald. Edd. o. Dein *οὐδενὶ* St.

φιλύκῃ] His contradicere quae c. 6, 2 dicta sunt adnotant interpretes. Scaliger *φιλυρίᾳ* conjecit.

καὶ σημύδᾳ] sic conj. Schn. in Comm. nec comparato 3, 14, 4 sic scribere dubitavi; *καὶ μυῖα* U; *καὶ μύα* Ald.; *καὶ μία* mBas.; *μίᾳ* St.; om. G. — *κυλάστρῳ* M.

ταύτης] corr. H. Sch.; *ταύτας* UMV Ald.; *ἐκ ταύτης* St.

κίστας — τἆλλα] Ald. H.; addidit *τὰ τοιαῦτα* i. u. Sch.; *κίστας καὶ τἆλλα* St.; *κίστας καὶ τἆλλα καὶ τὰ κανᾶ καὶ τὰ ἄλλα* U; *Salicis ad scuta cistellas canistra et ejusmodi reliqua* G.

προσαναλαβεῖν] corr. Sch.; *προαναλαβεῖν* Ald. Edd.

μὲν γίνεται κοτίνου· χρῶνται δὲ καὶ πυξίνοις καὶ πτελείνοις καὶ μελείνοις· τὰς δὲ μεγάλας σφύρας πιτυίνας ποιοῦσιν. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον ἔχει τινὰ τάξιν. καὶ ταῦτα μὲν αἱ χρεῖαι διαιροῦσιν.

Cap. VIII. Ἑκάστη δὲ τῆς ὕλης ὥςπερ καὶ πρότερον ἐλέχθη διαφέρει κατὰ τοὺς τόπους· ἔνθα μὲν γὰρ λωτὸς ἔνθα δὲ κέδρος γίνεται θαυμαστὴ καθάπερ καὶ περὶ Συρίαν· ἐν Συρίᾳ γὰρ ἔν τε τοῖς ὄρεσι διαφέροντα γίνεται τὰ δένδρα τῆς κέδρου καὶ τῷ ὕψει καὶ τῷ πάχει· τηλικαῦτα γάρ ἐστιν ὥστ' ἔνια μὲν μὴ δύνασθαι τρεῖς ἄνδρας περιλαμβάνειν· ἔν τε τοῖς παραδείσοις ἔτι μείζω καὶ καλλίω. φαίνεται δὲ καὶ ἐάν τις ἐᾷ καὶ μὴ τέμνῃ τόπον οἰκεῖον ἕκαστον ἔχον γίνεσθαι θαυμαστὸν τῷ μήκει καὶ πάχει. ἐν Κύπρῳ γοῦν οὐκ ἔτεμνον οἱ βασιλεῖς ἅμα μὲν τηροῦντες καὶ ταμιευόμενοι ἅμα δὲ καὶ διὰ τὸ δυςκόμιστον εἶναι. μῆκος μὲν ἦν τῶν εἰς τὴν ἐνδεκήρη τὴν Δημητρίου τιμηθέντων τριςκαιδεκαόργυιον, αὐτὰ δὲ τὰ ξύλα τῷ μήκει θαυμαστὰ καὶ ἄοζα καὶ λεῖα. μέγιστα δὲ καὶ παρὰ πολὺ τὰ ἐν τῇ Κύρνῳ φασὶν εἶναι· τῶν γὰρ ἐν τῇ Λατίνῃ καλῶν γινομένων ὑπερβολῇ καὶ τῶν ἐλατίνων καὶ τῶν πευκίνων — μείζω γὰρ ταῦτα καὶ καλλίω τῶν ἰταλικῶν — οὐδὲν εἶναι πρὸς τὰ ἐν τῇ Κύρνῳ. πλεῦσαι γάρ ποτε τοὺς Ρωμαίους βουλομένους κατασκευάσασθαι πόλιν ἐν τῇ νήσῳ πέντε καὶ εἴκοσι ναυσὶ καὶ τηλικοῦτον εἶναι τὸ μέγεθος τῶν δένδρων ὥστε εἰςπλέοντας εἰς κόλπους τινὰς καὶ λιμένας διασχισθεῖσι τοῖς ἱστοῖς ἐπικινδυνεῦσαι. καὶ ὅλως δὲ πᾶσαν τὴν νῆσον δασεῖαν καὶ ὥςπερ ἠγριωμένην τῇ ὕλῃ· 2

8. *πτελ. καὶ μελ.*] UM$_2$; *καὶ μελ.* om. M$_1$. — Paulo ante *δὲ* om. U. Verba *τὰς δὲ — ποιοῦσιν* in editione Sch. casu exciderunt.

Cap. VIII.

τόπους] corr. Scal. H. St. Sch.; *πόδας* Ald.; *pro loci natura* G.

ἐν Συρ.] *ἐν* om. H.

ἔν τε τοῖς ὀρ.] Ald. H. St.; *τε* om. Sch.

περιλαμβάνειν] Ald. Edd.; *παραλ.* UMV.

ἔν τε τοῖς π.] U, *ἐν* a s. m. superscriptum; *τε τοῖς π.* MV; *τοῖς δὲ π.* Ald. H.; *ἐν τοῖς δὲ π.* St.; *ἐν δὲ τοῖς π.* Sch.

ἔτι μείζω] U Sch.; *ἔτι καὶ μ.* Ald. Edd.

ἔχον] om. M.

ἅμα μὲν — ταμιευόμενοι] U Sch.syll.; om. Ald. Edd.; post *βασιλεῖς* i. u. *τὴν ὕλην δι' ἀγνοίαν* add. Sch.cont. cum G.: qui *cum ex imperitia* de suo addidisse videtur.

ἐνδεκήρη] Bas. H. etc.; *ἐνδ.* Ald. Cam.; *ἐνδεκήρα* P.

δημητρίου] *Poliorcetis.* Cf. Plut. Vit. Demetr. c. 43.

τριςκαιδεκαόργυιον] corr. Schn.; *τριεςκαιδεκαόργυιον* Ald.; *τριςκαιδεκώρυτον* U; *τριςκαιδεκωρττον* MV; *τριεις καιδεκόργυιον* P; *τριῶν καὶ δέκα ὀργυιῶν* H. St.

κόρνῳ] *κορσικῇ* mBas.

μείζω — εἶναι] UMV. *Quamvis enim in latino agro pini et abietes tum magnitudine tum pulchritudine inter omnes italicas praestant: tamen ad earum rationem, quas corsica gignit, pro nullo certe habentur* G.; *μείζω τ. κ. κ. τ. ἰ.· οὐδὲν γὰρ εἶναι* Ald. H. St.; *μείζω τ. κ. κ.· τὰ δ' ἰταλικὰ οὐδὲν εἶναι* de conj. Sch.

2. *πόλιν*] mBas. St. Sch.; *condendi causa oppidi* G.; *πλοῖον* UMV Ald. H.

εἰςπλέοντας] U Sch.syll.; *τοὺς πλέοντας* Ald. H. Sch.

διασχισθεῖσι τοῖς ἱστοῖς] U; *διασχίοισι τ. ἱ.* V; *διασχίασι τ. ι.* M; *διασχίζειν τοὺς ἱστοὺς* Vinar. Vo. cod.Casaub. Sch.; *διασχίεισι τοῖς ἱστοῖς ἐπὶ τὸν πυκνὸν* Ald.; *διασχίζεσθαι τοὺς ἱστοὺς ἐπὶ τὸ πυκνὸν* conj. Scal.; *διασχίσαι τοὺς ἱστοὺς ἐπὶ τῷ πυκνῷ* conj. Dalecamp.; *διασχιεῖσι τοῖς ἱστοῖς ἐπὶ τὸν πυκνὸν* H.; *διασχίζεσθαι τοὺς ἱστοὺς ἐπὶ τὸν πυκνὸν* St.

ἐπικινδυνεῦσαι] dedi de conj.; *ἐπὶ τὸν πύκνον* Ald.; *πυκνον* sine accentu dat U. Editorum mutationes vide in lemmate proximo. Versio Gazae: *ut navigantes per sinus quosdam et portus nexus densaque malis perscinderent* nec aliis nec nobis intelligitur.

ὅλως δὲ] U Sch.syll.; *ὅλως καὶ* M; *ὕλας καὶ* V; *δὲ* om. Ald. Edd.

διʼ ὃ καὶ ἀποστῆναι τὴν πόλιν οἰκίζειν· διαβάντας δέ τινας ἀποτεμέσθαι πάμπολυ πλῆθος ἐκ τόπου βραχέος ὥστε τηλικαύτην ποιῆσαι σχεδίαν ἣ ἐχρήσατο πεντήκοντα ἱστίοις· οὐ μὴν ἀλλὰ διαπεσεῖν αὐτὴν ἐν τῷ πελάγει. Κύρνος μὲν οὖν εἴτε διὰ τὴν ἄνεσιν εἴτε καὶ τὸ ἔδαφος καὶ τὸν ἀέρα πολὺ διαφέρει τῶν
3. ἄλλων. ἡ δὲ τῶν Λατίνων ἔφυδρος πᾶσα· καὶ ἡ μὲν πεδεινὴ δάφνην ἔχει καὶ μυρρίνους καὶ ὀξύην θαυμαστήν· τηλικαῦτα γὰρ τὰ μήκη τέμνουσι ὥστʼ εἶναι διανεκῶς τῶν τυρρηνίδων ὑπὸ τὴν τρόπιν· ἡ δὲ ὀρεινὴ πεύκην καὶ ἐλάτην. τὸ δὲ Κιρκαῖον καλούμενον εἶναι μὲν ἄκραν ὑψηλὴν δασεῖαν δὲ σφόδρα καὶ ἔχειν δρῦν καὶ δάφνην πολλὴν καὶ μυρρίνους. λέγειν δὲ τοὺς ἐγχωρίους ὡς ἐνταῦθα ἡ Κίρκη κατῴκει καὶ δεικνύναι τὸν τοῦ Ἐλπήνορος τάφον ἐξ οὗ φύονται μυρρίναι καθάπερ αἱ στεφανώτιδες τῶν ἄλλων ὄντων μεγάλων μυρρίνων. τὸν δὲ τόπον εἶναι καὶ τοῦτον νέαν πρόσθεσιν καὶ πρότερον μὲν οὖν νῆσον εἶναι τὸ
9St. Κιρκαῖον, νῦν δὲ ὑπὸ ποταμῶν τινων προσκεχῶσθαι καὶ εἶναι ἠιόνα. τῆς δὲ νήσου τὸ μέγεθος περὶ ὀγδοήκοντα σταδίους. καὶ τὰ μὲν τῶν τόπων ἴδια πολλὴν ἔχει διαφορὰν ὥςπερ εἴρηται πολλάκις.

10H. Cap. IX. Τὸ δὲ καὶ πρὸς τὴν πύρωσιν πῶς ἑκάστη τῆς ὕλης ἔχει λεκτέον ὁμοίως καὶ πειρατέον λαβεῖν. ἄνθρακες μὲν οὖν ἄριστοι γίνονται τῶν πυκνοτάτων οἷον ἀρίας δρυὸς κομάρου· στερεώτατοι γὰρ ὥστε πλεῖστον χρόνον ἀντέχουσι καὶ μάλιστα ἰσχύουσι, διʼ ὃ καὶ ἐν τοῖς ἀργυρείοις τούτοις χρῶνται πρὸς τὴν πρώτην τούτων ἕψησιν. χείριστοι δὲ τούτων οἱ δρύϊνοι· γεωδέστατοι γάρ· χείρους δὲ καὶ οἱ τῶν πρεσβυτέρων τῶν νέων, καὶ μάλιστα οἱ τῶν γερανδρύων διὰ ταὐτό· ξηρότατοι γὰρ διʼ ὃ καὶ πηδῶσι καιόμενοι· δεῖ δὲ ἑνικ-

διαβάντας δέ τινας] corr. St. Sch. in Comm. et Syll. sensu flagitante; *sed nonnullos ingressos* G.; *διαβάντα δέ τινα* Ald. H.

ἀποτεμέσθαι] U, Sch. in Syll.; *ἀποτέμνεσθαι* Ald. Edd.

ἣ ἐχρήσατο π. ἱστ.] de conj. Sch.; *ᾗ ἐχρήσαντο οἱ πεντήκοντα ἱστίοις* Ald. H.; *ὥστʼ ἑλκύσαι π. ἱστ.* e conj. Scaligeri dedit St. Etenim G.: *ut ratem perconderent quinquaginta velis ducendam.*

3. *πεδεινὴ*] Cf. ad 3, 2, 4. *πεδινὴ* MV et U ex corr. Vo. St. Sch.; *πεδάνη* Ald.; *πεδανὴ* H.

μυρρίνους] U Sch.syll.; *μυρίνους* MV; *μυρρίνην* Ald. Edd.

διανεκῶς] corr. Sch.; *διὰ νεὼς* Ald. Edd.; *ut pro carina etruscis navibus possit sufficere* G.

μυρρίνους] MV Sch.; *μυρρίνην* Ald. Edd.

ἐγχωρίους] *ἐγχυρίους* H. — *λέγει* MV.

δεικνύναι] Ald. Edd.; *δεικνύουσι* e conj. Sch.

τὸν δὲ τόπον εἶναι καὶ τοῦτον] UMV Sch. syll.; *καὶ* om. Ald. Edd.; *τὸν δὲ τάφον εἶναι τοῦτον* St.

νέαν πρόσθεσιν] scripsi de conj.: *hunc locum recenti tempore continenti terrae adjunctum esse.* *εἰς ἀνδρὸς θέσιν* Ald. Edd. o.; *τὸν — θέσιν* om. G. Interpretum commenta referre supersedeo.

καὶ τὰ μὲν τῶν] UMV Ald. Sch.; *καὶ κατὰ μὲν τῶν* H.; *καὶ κατὰ μὲν τὰ τῶν* St.; *sed pro locorum propriis permulta magnaque exultant discrimina* G. — Dein *ὥςπερ* om. St.; *τῶν* om. V.

ἔχει] corr. Sch.; *εἶναι* Ald. Edd.

Cap. IX.

δὲ καὶ] UMVP Sch.syll.; *καὶ* om. Ald. Edd.

λαβεῖν] *τὰς διαφορὰς* add. St. et Sch. i. u.

ἀργυρείοις] Ald. Edd. o.; *ἀργυρίοις* UMV; *ἀργυρέοις* P.

τῶν νέων] Ald. Edd. o. Schn. *ἢ* additum voluit sed non addidit.

γερανδρύων] *μελανδρύων* conj. Coraes. Differunt *τὰ πρεσβύτερα* et *τὰ γεράνδρια* ut Comparativus a Superlativo. *γεράνδρια* omnes arbores sylvestres audiunt seniles et ad mortem vergentes. Cf. 2, 7, 2.

ταὐτό] *τ' αὐτό* H. St. ut saepe.

καὶ μάλ.] *τῶν μάλ.* H.; *καὶ τούτων μ.* St.

μον εἶναι. βέλτιστοι δὲ οἱ τῶν ἐν ἀκμῇ καὶ μάλιστα οἱ τῶν κολοβῶν· συμ- 2.
λευκοτέρα τούτων· ἴδιον δὲ ἔχει τὸ περὶ τὸ φύλλον ὅτι ἀφαιρούμενον καὶ τῇ σαρκὶ προσφερόμενον αἱματώδη ποιεῖ τὸν χυλὸν, διὸ καὶ φόνον ἔνιοι καλοῦσι τὴν ἄκανθαν ταύτην· ἔχει δὲ καὶ τὴν ὀσμὴν δεινὴν καὶ φονώδη· ὀψὲ δὲ καὶ τελειοῖ τὸν καρπὸν πρὸς τὸ μετόπωρον. τὸ δ' ὅλον ὡς ἁπλῶς εἰπεῖν ἅπασα ἡ ἀκανθικὴ φύσις ὀψίκαρπος. ἅπαντα δὲ ταῦτα φύεται καὶ ἀπὸ τοῦ σπέρματος καὶ ἀπὸ τῆς ῥίζης ὥστε βραχύν τινα γίνεσθαι τὸν ἀνὰ μέσον χρόνον τῆς ἐκφύ-
7. σεώς τε καὶ τῆς τοῦ σπέρματος τελειώσεως. τοῦ σκολύμου δὲ οὐχ ὅτι τοῦτο μόνον ἴδιον ὅτι τὴν ῥίζαν ἐδώδιμον ἔχει καὶ ἑφθὴν καὶ ὠμὴν, ἀλλὰ καὶ ὅτι τότε ἀρίστην ὅταν ἀνθῇ καὶ ὅτι σκληρυνομένη ἀφίησιν ὀπόν. ἴδιον δὲ καὶ τὸ τῆς
8. ἀνθήσεως· ἐπεὶ περὶ τροπάς. σαρκώδης δὲ καὶ ἐδώδιμος ἡ τοῦ σόγκου· ἡ δὲ κύησις οὐκ ἀκανώδης ἀλλὰ προμήκης αὐτοῦ· καὶ τοῦτ' ἴδιον μόνον ἔχει τῶν φυλλακάνθων ἀντεστραμμένως ἢ ὁ χαμαιλέων· ὁ μὲν γὰρ ἀφυλλάκανθος ὢν ἀκανίζει. γηράσκον δὲ τὸ ἄνθος ἐκπαπποῦται καθάπερ τὸ τῆς ἀπάπης καὶ τὸ τῆς μυρίκης καὶ ὅσα παραπλήσια τούτοις. παρακολουθεῖ δὲ μέχρι τοῦ θέρους τὸ μὲν κυοῦν τὸ δὲ ἀνθοῦν τὸ δὲ σπερμοτοκοῦν, μικρὰν ἰκμάδα καὶ κέντρον
9. ἔχον· ξηραινόμενον δὲ τὸ φύλλον διαχεῖται καὶ οὐκέτι κεντεῖ. ἡ ἰξίνη δὲ φύεται μὲν οὐ πολλαχοῦ, ῥιζόφυλλον δέ ἐστιν. ἀπὸ δὲ τῆς ῥίζης μέσης ὁ σπερματικὸς ἄκανος ἐπιπέφυκεν ὥσπερ μῆλον εὖ μάλα ἐπικεκρυμμένον ὑπὸ τῶν φύλλων. οὗτος δὲ ἐπὶ τοῦ ἄκρου φέρει τὸ δάκρυον εὔστομον, καὶ τοῦτό ἐστιν

τούτων] *ταύτης* St.

τὸ περὶ τὸ φύλλον] UP Sch.; *περὶ τὸ φύλλον* P$_2$; *τὸ περὶ φύλλον* M; *τὸ φύλλον* Ald. Edd.; *δέ τι ἔχει* St.

ἔχει δὲ καὶ] MP Sch.; *καὶ* om. Ald. Edd. — Exc. P$_2$: *διὸ καὶ φόνον ἔνιοι καλοῦσι ταύτην, ὅτι τὴν ἄκανθαν ἔχει καὶ ὀσμὴν φονώδη.*

τὸ μετοπ.] UMP Ald. Sch.; *τὸν μ.* cum Cam. H. St.

ὀψίκαρπος] cod. Casaub. Vo. Sch.; *serotina* G.; *ἐπίκαρπος* Ald. H. St. Bod. correxit etiam *ἀκανική*.

γίνεσθαι] UM Sch.; *γενέσθαι* Ald. Edd.

7. *οὐχ ὅτι*] *οὐκέτι* St.

ἑφθὴν] *ὀφθὴν* M.

ὅτι τότε ἀρίστην] U Sch.syll.; *ὅτι τὰς ἀρίστην* P Ald. et Bas., haec cum asterisco post *τὰς*; *ὅτι τὴν ἀρίστην ἔχει* Cam. H.; *ὅτι ταύτην ἀρίστην* mBas. Sch.; *ὅτι ταύτην ἀρ. ἔχει* St. *Quod eandem optimam habet cum florescit* G.

ὅταν ἀνθῇ] P Ald. Bas. Sch.; *ὅταν ἀνθεῖ* St.; om. Cam. H.

ὅτι σκλ.] P Ald. Edd.; *ὅταν* UM.

8. *τοῦ σόγκου*] cum C. Hoffm. St. Sch.; *τοῦ ὄγκου* Ald. Edd. — *ῥίζα* i. u. add. St.

ἀκανώδης] corr. Scal. St. Sch.; *ἀκανθώδης* Ald. H.

ἢ ὁ χ.] *δὲ* anteposuit St.

ἀκανίζει] M H. St. Sch.; *acani speciem gerit* G. Tarv.; *καχαννίζει* U; *καχανίζει* Ald.; *ἀκαρνίζει* mBas.

γηράσκον] corr. Sch.; *γηράσκων* Ald. Edd. — Post *ἄνθος* add. *τοῦ σόγκου* St.

ἀπάπης] sic dedi e conj. Schneideri in Auct., ipse mavult *ἀπάτης*. Vide ad 7, 8, 3. *πάπνης* U; *δοπάνης* M; *δαπάνης* P; *δάφνης* Ald. Edd. o.; *laurini* G.: *ἀκάρνης* St. cum Dalec.

μυρίκης] corr. Sch. in Syll.; *μυρίνης* M; *μυρρίνης* Ald. Edd.; *ἰξίνης* cum Dalecampio St.

παρακολουθεῖ δὲ μ.] U Sch.syll.; *δὲ* om. cett. o.; *παρακολουθεῖν* Ald. H.; — *λουθεῖ* mBas. St. Sch.

τὸ δὲ σπερμοτοκοῦν] dedi de conj. Schneideri; *τὸ δὲ σπέρματος μὲν* Ald. H.; *τὸ δὲ σπέρμα . . . μὲν μικ.* etc. Sch.; *τὸ δὲ σπερμοτοκεῖν* St. Sed quae sequuntur quoque mendo laborant, quod sine librorum ope tolli nequit.

κέντρον] Vo. Scal. Bod. Sch.; *aculeoque armatur* G.; *μέτρον* U Ald.; *μήτρον* H.; *καὶ μικρὰν μὲν ἰκμάδα καὶ κέντρον ἔχει τὸ φύλλον ξηραινόμενον δὲ διαχεῖται* etc. St.

διαχεῖται] vitiosum esse censet Sch.; *διαχῦται* M; *remittitur* G. i. e. turgorem amittit, marcescens collabitur. Cf. Plato Symp. p. 206 D. Gregor. Nyss. 1. p. 69. D.

9. *ἡ ἰξίνη δὲ*] Ald. H. Sch.; *ἡ ἰξ. δὲ* UM; *ἡ δὲ ἰξίνη* St.

ἡ ἀκανθικὴ μαστίχη· ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα πανταχοῦ σχεδόν ἐστιν. ἡ 10.
δὲ κάκτος καλουμένη περὶ Σικελίαν μόνον, ἐν τῇ Ἑλλάδι δὲ οὐκ ἔστιν. ἴδιον δὲ
παρὰ τἄλλα τὸ φυτόν· ἀφίησι γὰρ εὐθὺς ἀπὸ τῆς ῥίζης καυλοὺς ἐπιγείους, τὸ
δὲ φύλλον ἔχει πλατὺ καὶ ἀκανθῶδες· καλοῦσι δὲ τοὺς καυλοὺς τούτους κάκ-
τους· ἐδώδιμοι δέ εἰσι περιλεπόμενοι μικρὸν ἐπίπικροι, καὶ θησαυρίζουσιν
αὐτοὺς ἐν ἅλμῃ. ἕτερον δὲ καυλὸν ὀρθὸν ἀφίησιν ὃν καλοῦσι πτέρνικα· γίνε- 11.
ται δὲ καὶ οὗτος ἐδώδιμος πλὴν ἀθησαύριστος. τὸ δὲ περικάρπιον ἐν ᾧ τὸ
σπέρμα τὴν μὲν μορφὴν ἀκανῶδες, ἀφαιρεθέντων δὲ τῶν παππωδῶν σπερμά-
των ἐδώδιμον καὶ τοῦτο καὶ ἐμφερὲς τῷ τοῦ φοίνικος ἐγκεφάλῳ· καλοῦσι δὲ 5 St.
αὐτὸ σκαλίαν. τὰ μὲν οὖν φυλλάκανθα σκεπτέον ἐν τοιαύταις διαφοραῖς.

Cap. V. Τὰ δὲ καὶ παρὰ τὴν ἄκανθαν ἔχοντα φύλλον, οἷον τὰ τοιαῦτα
φέως ὄνωνις παντάδουσα τρίβολος ἱππόφεως μυάκανθος . . . τε σφόδρα καὶ τὸ

ὑπὸ τῶν φ.] corr. Sch.; *ἐπὶ τῶν φ.* Ald. Edd.

ἡ ἀκανθικὴ μαστίχη] U Sch.; *ἡ ἀκάνθη καὶ ἡ μαστίχη* M Ald.; *ἡ ἀκανθικὴ καὶ ἡ μαστίχη* H.; *ἡ ἀκανθικὴ μαστίκη* St.

10. *Ἑλλάδι δὲ*] *δὲ* om. M.

ῥίζης καυλοὺς] UM Ald. Edd.; *ῥ. τοὺς καυλ.* Sch.cont.

ἔχει πλατὺ καὶ] *πλατὺ* om. Ald. H., quod inserui cum Scal. et Sch. ex Athenae. 2 p.70 et verss. Gazae Plinii; *ἔχει κάκτους καὶ*, vocabulo *κάκτους* per errorem huc tracto, quod post *καυλοὺς* poni voluit H.; *πλατὺ καὶ* omisso *ἔχει* St. De toto hoc loco cf. Cornar. ad Paul. Aeginet. 5, c. 64.

τοὺς καυλοὺς τούτους κάκτους] P, ac ut videtur UM, quorum scripturam Sch. non satis dilucide exposuit, Sch. Eodem ducunt Athenaei l. l. verba *καυλοὺς δὲ τοὺς καλουμένους κάκτους; τοὺς καυλοὺς* ceteris omissis Ald. H.; *τοὺς καυλοὺς κάκτους* cum Vo. et Scalig. St.

περιλεπόμενοι] corr. ex Athenaeo Scal. Sch. St. H.; *περιλειπόμενοι* UM Ald.

ἐπίπικροι] Ald. Edd. Ex Athenaeo *ὑπόπικροι* dedit Sch.

ἅλμῃ] corr. ex Athenaeo Scal. H. St. Sch.; *ἅμῃ* Ald.

11. *ὃν καλοῦσι πτέρνικα*] Ald. Edd. o., Athenae, l. l.; *ὃ καλ. πτ.* P. Quam scripturam cur non sequar movet me praeter Athenaei etiam Hesychii auctoritas: *τέρναια· τῆς κάκτου τοῦ φυτοῦ καυλόν.*

ἀκανῶδες] corr. St. Sch.; *ἀκανθῶδες* Ald. H.; *spinata specie* G.

παππωδῶν] H. St. Sch. cum Athenaeo; *παπαδῶν* M Ald.; *παππαδῶν* mBas.

αὐτὸ] cum Athenaeo Sch.; *αὐτὸν* Ald. Edd.

σκαλίαν] Ald. Edd. G.; *ascaliam* Plin. 21, 16 s. 57; *ἀσκάληρον* Athenaeus l. l.

Cap. V.

Τὰ δὲ etc.] Initium hujus capitis vitiis laborat quae interpretum nemini adhuc tollere contigit neque sine libris removeri possunt. Exscripsi ut exstant in Ald. paucis mutatis. Codicum nulla varietas: verba *μυάκανθος τε σφ. — οὐ μὴν* in UM plane concordant cum Ald. Gaza: *Quaedam vero folium juxta aculeum gerunt ut fleus inturris ononis tribulus lappago spina muralis alia pleraque: fleum folio constat carnoso: multifidum multistirpsque est.* H. nihil mutavit nisi quod post *πολύρριζον* inseruit *τὸ φλέως;* St. — *φύλλον ἔστι τοιαῦτα — — μυάκανθος ὃς καὶ — σαρκώδες σφόδρα πολυσχιδὲς δὲ καὶ πολύρριζον τὸ φέως* scripsit. Schn. duce Gaza locum sic proposuit: *τὰ δὲ — φύλλον, οἷον φέως — ἱππόφνον μυάκανθος, καὶ τὰ τοιαῦτα· σφόδρα [δὲ] καὶ τὸ φύλλον ἔχει σαρκῶδες, πολυσχιδὲς καὶ πολύρριζον ὁ φέως, οὐ μήν.* Ubi quidem verbum *τὸ φέως* insertum nonnisi Gazae auctoritate niti ipse vidit; cf. Ind. s. v. *φέως*. Sed locus ex hac scriptura minime restitutus sed etiamnum mendis laborat. Quare malui vitium relinquere et ad futuram emendationem proponere. Primum desideratur verbum quo aliquid de subjecto *τὰ ἔχοντα* praedicetur, quod excidisse suspicor. Aperta vero lacuna post *μυάκανθος* quam indicavi, ubi excidisse ejus plantae nomen videtur, ad quam descriptio, quae versibus proximis continetur pertineat. Dein in hac enumeratione plura sunt quibus offendimus, quod *ἱππόφεως* non post *φέως* sequitur, quod de *παντάδουσα* et de *μυάκανθος* infra ne verbum quidem adjungitur, quod *ὄνωνις* quam dein ultimo loco tractat hic secundo loco posita est, quod *κάππαρις*, de qua mox plura sequuntur, hic non enumeratur. Salmas. p. 279 *μυλλάκανθος* conjecit. cum Plinius *spinis geniculatum* dixerit.

5H. φύλλον ἔχει σαρκῶδες· πολυσχιδὲς δὲ καὶ πολύρριζον, οὐ μὴν κατὰ βάθους γε τὰς ῥίζας ἔχον. βλαστάνει δὲ ἅμα πλειάδι καὶ τοῖς πρώτοις ἀρότοις καὶ
2 ἀφίησι τότε τὸ φύλλον· οὐ γάρ ἐστιν ἐπέτειον ἀλλὰ χρονιώτερον. τὸ δὲ τῆς καππάριος ἴδιον ὥσπερ ἐλέχθη παρὰ ταῦτα· καὶ γὰρ τὸ φύλλον ἐπακανθίζον ἔχει καὶ τὸν καυλὸν οὐχ ὥσπερ ὁ φέως καὶ ἱππόφεως ἀνάκανθα τοῖς φύλλοις· μονόρριζον δὲ καὶ ἐπίγειον καὶ χαμαίκαυλον· βλαστάνει δὲ καὶ ἀνθεῖ τοῦ θέρους καὶ διαμένει τὸ φύλλον χλωρὸν ἄχρι πλειάδος. χαίρει δὲ ὑφάμμοις καὶ λεπτογείοις χωρίοις· λέγεται δὲ ὡς ἐν τοῖς ἐργασίμοις οὐ θέλει φύεσθαι καὶ ταῦτα περὶ τὰ ἄστη καὶ ἐν εὐγείοις τόποις φυομένη καὶ οὐχ ὥσπερ σίλφιον ἐν ὀρεινοῖς· τοῦτο μὲν
3. οὐ πάντως ἀληθές. ὁ δὲ τρίβολος ἴδιον ἔχει διότι περικαρπιάκανθός ἐστι. δύο δ' αὐτοῦ γένη· τὸ μὲν γὰρ ἔχει φύλλον ἐρεβινθῶδες, ἕτερος δὲ φυλλάκανθος· ἐπίγειοι δὲ ἄμφω καὶ πολλαχῇ σχιζόμενοι· ὀψιβλαστὴς δὲ μᾶλλον ὁ φυλλάκανθος καὶ φύεται περὶ τὰς αὐλάς. τὸ δὲ σπέρμα τοῦ μὲν πρωΐου σησαμῶδες, τοῦ δὲ ὀψίου στρογγύλον ἐπίμελαν ἐν λοβῷ. καὶ τὰ μὲν οὖν παρὰ τὰ φύλλα καὶ ἄκανθαν ἔχοντα σχεδὸν ἐν τούτοις. ἡ δ' ὄνωνίς ἐστι πτερθάκανθον, ἐπέτειον δέ· τὸ φύλλον ἔχει πηγανῶδες παραπεφυκὸς παρ' ὅλον τὸν καυλόν, ὥστε καθάπερ στεφάνου τὴν ὅλην εἶναι μορφήν, διαλαμβανομένων

φέως] St. Sch.; *φλέως* Ald.

ἱπποφέως] dedi de conj. Salm. Ex. p. 279; *ἱππόφυον* Ald. Edd. o.

ἔχον] *ἔχων* Sch.

πλειάδι] Ald. Edd.; *πληϊαδι* U; *πλοιάδι* M.

ἀρότοις] corr. Bod. St. Sch.; *ἀρότροις* Ald. H.

τότε τὸ φ.] dedi de conj. Stackh., probante Schneidero; *τοῦτο τὸ φ.* Ald. H.

2. *ὁ φέως*] St. Sch.; *ὄφεως* Ald. Bas. Cam. H.; *ὁ φλεὼς* mBas.

ἀνάκανθα] *ἀνάκαθα* Ald. Cam.

πλειάδος] Ald. Edd.; *πληϊάδος* U; *πλοιάδος* M.

καὶ ταῦτα] *καίπερ* St.

εὐγείοις] M1 a m. pr.; *εὐγείλοις* UM1; *εὐηλίοις* Ald. Edd. o; *apud oppida et loca plana* G., qui *πεδινοῖς* habuisse videtur. — Mox [*τὸ*] *σίλφιον* Sch.

ταῦτο μὲν οὐ] Videtur *τοῦτο μὲν οὖν οὐ* scribendum esse, idque G. habuisse.

3. *ἐπίγειοι*] M Sch.; *καὶ ἐπίγειοι* Ald. Edd.

πολλαχῇ] corr. Sch.; *πολλαχοῦ* Ald. Edd. Deinceps *σχεδὸν* addunt Ald. H. St., om. U M Sch.

φυλλάκανθος] Bas. Sch.; *φυλλόκανθος* Ald. Cam. H. St. Verba *ἐπίγειοι δὲ — ὁ φυλλάκανθος* om. P.

καὶ φύεται περὶ τ. α.] UMP Sch.; *περιφύεται τὰς αὐλὰς* Ald. H.; *καὶ προσφύεται κατὰ τὰς αὐλὰς* St.

πρωΐου] *προτου* P.

στρογγύλον] *στρογγῦλον* Ald. Cam.

τὰ μὲν οὖν παρὰ τὰ φύλλα] sic correxi cum Schn., addito vero *οὖν*; *τὰ μὲν ὥσπερ ἀνάφυλλα* Ald. H.; *τὰ μὲν ὥσπερ φύλλα* St.

ἄκανθαν] UM; *ἄκανθα* Ald.; *ἀκάνθας* St. Sch.

ὄνωνις] St. Sch.; *ὀνονὶς* mBas. H.; *ononis* G.; *ἄδωνις* UM; *ἀδωνὶς* Ald.

πτερθάκανθον] *-κανθος* St.

δὲ τὸ φύλλ.] UMP Sch.; *δὲ φύλλον* Ald. Non placet librorum scriptura; cur non pergit *τὸ δὲ φύλλον*? Haereo etiam in *ἐπέτειον* quod pro *ἐπετειόκαυλον* dictum est, si reliqua sana sunt.

ὥστε καθάπερ] U Sch.; *ὥσπερ καθάπερ* M; *ὥσπερ* Ald. H.; *ὥστε* St.

διαλαμβανομένων ἐπαλλήλων] dedi e conjectura; *διαλαμβανομένην ὑπ' ἀλλήλων* Ald. Edd. o. Dalecamp. transposita voluit sic: *τὸν καυλὸν διαλαμβανόμενον ὑπ' ἀλλήλων, ὥστε στεφάνου* etc. Quod etsi ei concedamus, quid erit *ὑπ' ἀλλήλων*? Jam hoc in confesso est *διαλαμβάνεσθαι* non posse ad *μορφὴν* pertinere; quaesivi igitur vitium in terminatione. Quod dedi, significat: *foliis alternatim se intercipientibus*, quo describit lineam spiralem, secundum quam petioli cauli adnati sunt, cujus spirae valde inter se propinquae. G.: *ut veluti coronam ex intervallis: tota species repraesentat.*

ἐπαλλήλων· κολοβοανθὴς δὲ καὶ ἑλλοβόκαρπος ἀδιαφράκτως· φύεται δ' ἐν 4.
τῇ γλίσχρᾳ καὶ γανώδει καὶ μάλιστα ἐν τῇ σπορίμῳ καὶ γεωργουμένῃ διὸ καὶ πολέμιον τοῖς γεωργοῖς· καί ἐστι δυσώλεθρος· ὅταν γὰρ λάβῃ χώρας βάθος ὠθεῖται κάτω εὐθὺς καὶ καθ' ἕκαστον ἔτος ἀποφύσεις ἀφεμένη εἰς τὰ πλάγια πάλιν εἰς τὸ ἕτερον ὠθεῖται κάτω· σπαστέα μὲν οὖν ὅλη· τοῦτο δὲ βραχείσης γίνεται τῆς γῆς καὶ ἀπόλλυται ῥᾷον· ἐὰν δὲ καὶ μικρὸν ἀπολειφθῇ ἀπὸ τούτου πάλιν βλαστάνει· ἄρχεται δὲ τῆς βλαστήσεως θέρους τελειοῦται δὲ μετοπώρου. τὰ μὲν οὖν ἄγρια τῶν φρυγανικῶν ἐκ τούτων θεωρείσθω. St.

Cap. VI. Τὰ δὲ ἥμερα βραχεῖάν τινα ἔχει θεωρίαν, ἅπερ ἐν τοῖς στεφανω- H.
ματικοῖς ἐστι. τὰ δὲ καθ' ὅλου πειρατέον περὶ στεφανωμάτων εἰπεῖν ὅπως ἅπαν περιληφθῇ τὸ γένος· ἡ γὰρ στεφανωματικὴ φύσις ἰδίαν τινὰ ἔχει τάξιν, ἐπιμιγνυμένη δὲ τὰ μὲν τοῖς φρυγανικοῖς τὰ δὲ τοῖς ποιώδεσι· διὸ καὶ κακεῖνα συμπεριληπτέον ἐπιμιμνησκομένους ὡς ἂν ᾖ ὁ καιρὸς, ἀρξαμένους πρῶτον ἀπὸ τῶν φρυγανικῶν. διχῇ δὲ ἡ τούτων διαίρεσις ἡ κατὰ τὴν χρείαν. τῶν μὲν 2.
γὰρ τὸ ἄνθος μόνον χρήσιμον· καὶ τούτων τὸ μὲν εὔοσμον ὥσπερ ἴον, τὸ δ' ἄνοσμον ὥσπερ διόσανθος φλόξ· τῶν δὲ καὶ οἱ κλῶνες καὶ τὰ φύλλα καὶ ὅλως ἡ πᾶσα φύσις εὔοσμος οἷον ἑρπύλλου ἑλενίου σισυμβρίου τῶν ἄλλων. ἄμφω δὲ φρυγανικά. κἀκείνων τῶν ἀνθικῶν πολλῶν ἡ φύσις φρυγανώδης ἡ μὲν ἐπέτειος οὖσα μόνον ἡ δὲ πολυχρονιωτέρα, πλὴν ἰωνίας τῆς μελαίνης· αὕτη γὰρ ἄκλων ὅλως ἀλλὰ προσριζόφυλλος καὶ ἀείφυλλος, ὡς δέ τινές φασι καὶ δυ-

κολοβοάνθης] UM Sch.; *κολλοβοάνθης* Ald. Edd.

ἑλλοβόκαρπος] corr. Schn.; *ἑλλοβοάνθης* Ald. Edd.; *florem minutulum et in siliqua non undique septum edit* G.

4. *γανώδει*] *pleno* G. Est *ἅπαξ λεγόμενον*. Vide Hesychium s. v.

ἐστι δυσ.] U; *ἔτι δυσ.* Ald. Edd. o.

λάβῃ] *λάβοι* M.

ὠθεῖται κάτω] corr. Sch.; *ὠθεῖ τὰ κάτω* Ald. Edd. G.: *protinus sua infima pellit.*

ἀφεμένη] Ald. H. Sch.; *ἀφεμένοι* M; *ἀφιεμένη* St.

εἰς τὸ ἕτερον] Ald. Edd.; *τῷ ἑτέρῳ* Sch.

σπαστέα μὲν οὖν ὅλη] scripsi de conj.; *σπασθεῖσα μὲν οὕτως ὅλη* Ald. H.; *καὶ* ante *ἀπόλλυται* seclusit Sch. St.: *ἐξορυχθεῖσα μὲν οὖν ὅλη (τοῦτο δὲ βραχείσης τῆς γῆς) ἀπόλλυται.* — G.: *Effodienda tota extupandaque penitus est. (Quod solo madefacto agendum. Sic enim facilius interit.*

καὶ μικροῦ] UMP Sch.; *καὶ* om. Ald. Edd. — *ἀπολειφθῇς* M.

θεωρείσθω] Ald. Edd.; *τεθεωρήσθω* Sch.

Cap. VI.

ἅπερ] corr. Sch.; *εἴπερ* UM Ald. G.; *ἥπερ* H. St. Cf. cap. 1, 1.

στεφανωματικοῖς] UMP Sch.; *στεφανωτικοῖς* Ald. Edd.

τὰ δὲ καθόλου] Ald. H. St.; *τὸ δὲ κ.* cum Vo. Sch.

στεφανωμάτων] *στεφανωτίκων* sic! et paulo post *στεφανωτικὴν* St.

ἐπιμιγνυμένη δὲ] Ald. H.; *ἐπιμιγνυμένην δὲ* St.; *ἐπιμιγνυμένη δὴ* Sch., quorum neutro opus est.

δι' ὅ] corr. Sch.; *δι' ἃ* Ald. Edd.

2. *μὲν γὰρ τὸ*] *γὰρ* om. H. St.

μόνον χρήσιμον] U Sch.syll.; *χρη. μόνον* Ald. Edd. o.

ἑρπύλλου] UM; *ἑρπύλου* Ald. Edd. o.; *serpilli* G.

ἑλενίου] Vide ad c. 1, 1; *ἐλενίου* Ald. Edd. o.

τῶν ἄλλων] Ald. H. St.; *τῶν δ' ἄλλων* M; *καί τινων ἄλλων* Sch.; *et aliorum quorumdam* G.

πολλῶν] dedi e conj.; *πολλὰ* UM Ald.; *τὰ πολλὰ* H. St. Sch.; *magna ex parte* G.

ἄκλων ὅλως] U Sch.syll.; *εὐκλόνοτος* M; *εὐκλόνητος* P; *ἀκλόνητος* Ald.; *ἀκλώνητος* H. St. Sch.

ὡς δὲ φέρειν] *εἰ δ' ὡς τινές φασι κ. δ. διύλου ἔτους φ.* St.

ναμένη δι' ὅλου φέρειν τὸ ἄνθος ἐὰν τρόπῳ τινὶ θεραπεύηται. τοῦτο μὲν ἴδιον ἂν ἔχοι. τῶν δὲ ἄλλων μᾶλλον δὲ τῶν πάντων αἱ μὲν ὅλαι μορφαὶ σχεδὸν πᾶσαι φανεραί· εἰ δέ τινας ἄλλας ἰδιότητας ἔχουσι ταύτας λεκτέον οἷον εἰ τὰ μὲν ἁπλᾶ δοκεῖ τοῖς εἴδεσιν εἶναι τὰ δὲ ἔχειν διαφοράς. ἁπλᾶ μὲν οὖν τὰ ξυλώδη καθάπερ ἕρπυλλος σισύμβριον ἑλένιον· πλὴν εἰ τὰ μὲν ἄγρια τὰ δὲ ἥμερα καὶ τὰ μὲν εὔοσμα τὰ δὲ ἀοσμότερά ἐστι· τούτων δὲ καὶ αἱ θεραπεῖαι καὶ αἱ χῶραι διάφοροι καὶ οἱ ἀέρες. ἔνια δὲ καὶ τῶν ἀνθῶν, οἷον τὸ μέλαν ἴον· οὐ γὰρ ἔχειν δοκεῖ τοῦτο διαφορὰν ὥσπερ τὸ λευκόν· ἐμφανὴς γὰρ ἡ τούτων χροιὰ διαλλάττουσα καὶ ἔτι δὴ μᾶλλον ἡ τῶν κρίνων, εἴπερ δὴ καθάπερ φασὶν ἔνια
4. καὶ πορφυρᾶ ἐστι. τῶν δὲ ῥόδων πολλαὶ διαφοραὶ πλήθει τε φύλλων καὶ ὀλιγότητι καὶ τραχύτητι καὶ λειότητι καὶ εὐχροίᾳ καὶ εὐοσμίᾳ. τὰ μὲν γὰρ πλεῖστα πεντάφυλλα τὰ δὲ δωδεκάφυλλα καὶ εἰκοσίφυλλα τὰ δ' ἔτι πολλῷ πλεῖον ὑπεραίροντα τούτων· ἔνια γὰρ εἶναί φασιν ἃ καὶ καλοῦσιν ἑκατοντάφυλλα· πλεῖστα δὲ τὰ τοιαῦτά ἐστι περὶ Φιλίππους· οὗτοι γὰρ λαμβάνοντες ἐκ τοῦ Παγγαίου φυτεύουσιν· ἐκεῖ γὰρ γίνεται πολλά· βραχὺ δὲ σφόδρα τὰ ἐντὸς φύλλα· ἡ γὰρ ἔκφυσις αὐτῶν οὕτως ὥστε εἶναι τὰ μὲν ἐκτὸς τὰ δ' ἐντός· οὐκ εὔοσμα δὲ οὐδὲ μεγάλα τοῖς μεγέθεσιν. ἐν δὲ τοῖς μεγάλοις εὐώδη μᾶλλον ὧν τραχὺ τὸ
5. κάτω. τὸ δὲ ὅλον ὥσπερ ἐλέχθη καὶ ἡ εὐχροια καὶ ἡ εὐοσμία παρὰ τοὺς τόπους ἐστίν· ἐπεὶ καὶ τὰ ἐν γῇ τῇ αὐτῇ γινόμενα ποιεῖ τινα παραλλαγὴν εὐοσμίας καὶ ἀοσμίας. εὐοσμότατα δὲ τὰ ἐν Κυρήνῃ, δι' ὃ καὶ τὸ μύρον ἥδιστον.

μὲν ἴδιον] Ald. Edd.; *μὲν οὖν ἴδιον* Sch.; *igitur proprium ita sortiantur* G.

ἔχον] *ἔχει* H.

3. *μᾶλλον δὲ τῶν*] U, Sch. cum G.; *δὲ* om. Ald. Edd.

πᾶσαι] *totae quidem formae fere omnes perspicuae sunt* G. Vix dubito quin *πᾶσι* scriptum fuerit; enim vero *πᾶσαι* post *πάντων* ac *ὅλαι* nimis *ταυτολογεῖ*.

τινας] Ald. Edd.; *τινες* UM.

οἷον εἰ τὰ μὲν] dedi de conj.; *ὅτι τὰ μὲν* Ald. Edd.

ἁπλᾶ μὲν οὖν τὰ] sic correxi; *ἁ. μὲν οἷον τὰ* Ald. Edd.

ἕρπυλλος] U; *ἕρπυλος* Ald. Edd. o.

ἑλένιον] *ἐλίνιον* Ald. Edd. o. Vide ad c. 1, 1.

πλὴν εἰ] *μὴ* addidit St.

καὶ τὰ μὲν εὔ.] mBas. Sch.; *τὰ μὲν* om. Ald. H.; *τὰ δ' εὔοσμα* St.

ἐστι] corr. Sch.; *εἶναι* Ald. Edd.

οἱ ἀέρες] St. Sch.; *οἱ* om. Ald. H.

ἔνια δὲ καὶ τῶν ἀ.] scripsi de conj.; *ἔνιοι δὲ τῶν ἀνθῶν οἷον* UM Ald.; *ἔνια δ. τ. ἀ. οὐδεμίαν διαφορὰν ἔχει οἷον* H. St.; *ἔνια δὲ τῶν ἀνθῶν* [*ἁπλᾶ*], *οἷον* Sch. Equidem facillimum duxi *καὶ* inserere, quo *ἁπλᾶ* subaudiatur.

λευκὸν] Ald. Bas. Cam. Sch. St. nec non UM; *λευκόϊον* H. Paulo ante *μελάνιον* Ald. Bas. Cam. H.

τούτων] *τούτου* St.

πορφυρᾶ ἐστι] Sch.; *π. ᾖ* Ald. Edd.

4. *εὐχροίᾳ*] U Sch.syll.; *χροιᾷ* Ald. Edd. o.

εἰκοσίφυλλα] St. Sch.; *εἰκοσάφυλλα* Ald. H. — Paulo ante pro *πλεῖστα* M. Cagnatus Var. Lect. 1, 25 e Plinio voluit *ὀλίγιστα* scribi, quem refutavit Schn.

οὗτοι γὰρ λαμβ.] Athenae. 15, c. 8 p. 682 habet *λαμβάνοντες γάρ*.

ἐν δὲ τοῖς μεγάλοις εὐ.] *τὰ δὲ πεντάφυλλα* habet Athen. l. l.

5. *ἡ εὐχροια καὶ ἡ εὐοσμία*] U Sch.syll.; *ἡ εὐοσμία καὶ ἡ εὐχροία* Ald. Edd. o.

ἐπεὶ καὶ τὰ ἐν γῇ τῇ αὐτῇ] ita optime corr, Sch.; — *γῇ τοιαύτῃ* U; — *τοιαῦτα* M; *ἔπειτα καὶ τὰ ἐν γῇ τοιαῦτα* Ald. *Nam et quae in eadem tellure proveniunt, diversitatem bonae exilisve olentiae nullam ostendunt* G., unde *ἐπεὶ καὶ τὰ τοιαῦτα ἐν τῇ αὐτῇ γινόμενα οὐ ποιεῖ τ. παραλλαγήν* etc. H. St.

ἁπλῶς δὲ καὶ τῶν ἴων καὶ τῶν ἄλλων ἀνθῶν ἄκρατοι μάλιστα ἐκεῖ αἱ ὀσμαὶ, διαφερόντως δὲ τοῦ κρόκου· πλεῖστον γὰρ οὗτος δοκεῖ παραλλάττειν. φύεται 6.
μὲν οὖν ἡ ῥοδωνία καὶ ἐκ τοῦ σπέρματος· ἔχει δὲ ὑπὸ τὸ ἄνθος ἐν τῷ μήλῳ κνηκώδες ἢ ἀκανώδες, ἔχον δέ τινα χνοῦν ὥστε ἐγγὺς εἶναι τῶν παππωδῶν σπερμάτων· οὐ μὴν ἀλλὰ διὰ τὸ βραδέως παραγίνεσθαι κατακόπτοντες ὡς ἐλέχθη τὸν καυλὸν φυτεύουσιν. ἐπικαιομένη δὲ καὶ ἐπιτεμνομένη βέλτιον φέρει τὸ ἄνθος· εὐμένη γὰρ ἐξαύξεται καὶ ἀπολοχμοῦται. δεῖ δὲ καὶ μεταφυτεύειν πολλάκις· καὶ γὰρ οὕτω φασὶ κάλλιον γίνεσθαι τὸ ῥόδον. αἱ δ' ἄγριαι τραχύτεραι καὶ ταῖς ῥάβδοις καὶ τοῖς φύλλοις, ἔτι δὲ ἄνθος ἀχρούστερον ἔχουσι καὶ ἔλαττον· τὸ δὲ ἴον τὸ μέλαν τοῦ λευκοῦ διαφέρει κατά τε ἄλλα 7.
καὶ κατ' αὐτὴν τὴν ἰωνίαν ὅτι πλατύφυλλός τε καὶ ἐγγειόφυλλος καὶ σαρκόφυλλός ἐστι, πολλὴν ἔχουσα ῥίζαν. τὰ δὲ κρίνα τῇ μὲν χροιᾷ τὴν εἰρημένην ἔχει 8.
διαφοράν. μονόκαυλα δέ ἐστιν ὡς ἐπὶ πᾶν διϰαυλεῖ δὲ σπανίως· τάχα δὲ τοῦτο χώρας καὶ ἀέρος διαφορᾷ. καθ' ἕκαστον δὲ καυλὸν ὁτὲ μὲν ἓν κρίνον ὁτὲ δὲ πλείω γίνεται· βλαστάνει γὰρ τὸ ἄκρον· σπανιώτερα δὲ ταῦτα· ῥίζαν δὲ ἔχει πολλὴν σαρκώδη καὶ στρογγύλην· ὁ δὲ καρπὸς ἀφαιρούμενος ἐκβλαστάνει καὶ ἀποδίδωσι τὸ κρίνον πλὴν ἔλαττον. ποιεῖ δέ τινα καὶ δακρυώδη συρροὴν, ἣν καὶ φυτεύουσιν ὥσπερ εἴπομεν. ὁ δὲ νάρκισσος ἢ τὸ λείριον, οἱ μὲν 9.
γὰρ τοῦτο οἱ δ' ἐκεῖνο καλοῦσι, τὸ μὲν ἐπὶ τῇ γῇ φύλλον ἀσφοδελῶδες ἔχει,

ἄκρατοι μάλιστα ἐκεῖ αἱ ὀσμαὶ] sic correxit h. l. Schn., partim jam a Saraceno ad Dioscor. 1, 25 et Spanhemio ad Callim. H. in Apollinem v. 83 emendatum: U dat *ἐκεῖ αἱ ὀσμαὶ*, de reliquis non constat; *ἐκεῖθι* dederat Schn. cont.; *ἄκρατοι· μάλιστα δ' ἐκεῖνου αἱ ὀσμαὶ* Ald. H.; *ἄκραται μάλιστα ἐκείνῃ αἱ ὀ.* St.

διαφερόντως δὲ τοῦ κρόκου] sic Athenae. l. l. unde correxere Saracen. l. l. Schn.; *διαφέροντος δὴ τοῦ χρόνου* Ald. H.; *διαφέροντες δὲ τῷ χρόνῳ* St.; — *florum odores ibidem sinceri praecipue sentiuntur. Nascitur rosa* etc. C., omissis verbis praescriptis.

6. *ῥοδωνία*] Ald. H.; *ῥοδωνιὰ* P₂ Sch.

ἔχει δὲ] [*ἔχει γὰρ*] St.

ἢ ἀκανῶδες] corr. Sch.; *acanaceum* G.; *ἀνθῶδες* UM Ald.; *ἀκανθῶδες* H.; *μήλῳ ακανώδει κνηκωδὲς τινα χνοῦν* sic! St.

χνοῦν] M₁, Sch.; *χνοῦν* M₂; *χοῦν* Ald. H.

παππωδῶν] Schn. de conjectura egregia; *πρώτων* Ald. Edd.; *primis* G.; *πάντων* voluit Dal.

ἐπικαιομένη] P₂ Ald. Edd. Cf. ad 4, 8, 4.

μεταφυτεύειν] UP₂, Sch. de conj.: *καταφυτεύειν* Ald. Edd.

ῥάβδοις] *κλάδοις* P₂.

7. *ἄλλα καὶ κατ'*] *καὶ* om. St. h. l. et posuit ante *ὅτι*. Idem neutrum *πλατύφυλλον* et sic bis deinceps dedit.

πλατύφυλλός τε] UM Sch.; *τε* om. Ald. Edd.

ἔχουσα ῥίζαν] *ἔχον τὴν ῥ.* St.

8. *τὰ δὲ κρίνα*] Exc. P₂: *ὁμοίως δὲ καὶ τὰ κρίνα καταχοπτομένων τῶν καλάμων καὶ φυτευομένων γίνεται, ποιεῖ δὲ καί τινα δακρ. σ.*

διϰαυλεῖ] UM Ald. Sch.syll.; *δίκαυλα* H. St. Sch.

διαφορᾷ] scripsi e mente Schneideri, quo ducunt scripturae librorum; *διαφορᾶς* U; *διαφορὰν* M₁; *διαφορὰς* M₂; *διαφορά* Ald. Edd. o.

σαρκώδη] *βολβώδη* scriptum fuisse suspicatur Link.

συρροὴν] P₂, de conj. H. St. Sch.; *συρροχὴν* UM Ald.; *confluvium* G. Cf. 2, 2, 1.

9. *ὁ δὲ ναρκ.*] P₂: *τὸ δὲ λείριον ἢ ὁ νάρκισσος, οἱ μὲν γὰρ οὕτως οἱ δὲ ἐκεῖνως καλοῦσιν.* Cf. Erotian. sub *λείριον*. Schol. ad Apollon. Rhod. I. v. 879, qui Theophrastum laudat.

ἀσφοδελῶδες] UP₂, corr. e vers. G. mBas. Scal. St. Sch.; *ἀσφαλῶδες* Ald. H.

πλατύτερον δὲ πολὺ καθάπερ ἡ κριθωνία, τὸν δὲ καυλὸν ἄφυλλον μὲν ποώδη δὲ καὶ ἐξ ἄκρου τὸ ἄνθος, καὶ ἐν ὑμένι τινὶ καθάπερ ἐν ἀγγείῳ καρπὸν μέγαν εὖ μάλα καὶ μέλανα τῇ χροιᾷ σχήματι δὲ προμήκη. οὗτος δ' ἐκπίπτων ποιεῖ βλάστησιν αὐτόματον· οὐ μὴν ἀλλὰ καὶ συλλέγοντες πηγνύουσι καὶ τὴν ῥίζαν φυτεύουσιν. ἔχει ῥίζαν σαρκώδη στρογγύλην μεγάλην. ὄψιον δὲ σφόδρα·
10. μετὰ γὰρ ἀρκτοῦρον ἡ ἄνθησις καὶ περὶ ἰσημερίαν. ὁ δὲ κρόκος ποώδης μὲν τῇ φύσει καθάπερ καὶ ταῦτα, πλὴν φύλλῳ στενῷ, σχεδὸν γὰρ ὥσπερ τριχόφυλλόν ἐστιν· ὀψιανθὲς δὲ σφόδρα καὶ ὀψιβλαστὲς ἢ πρωϊανθὲς ὁποτέρως τις λαμβάνοι τὴν ὥραν· μετὰ πλειάδα γὰρ ἀνθεῖ καὶ ὀλίγας ἡμέρας· εὐθὺς δ' ἅμα τῷ φύλλῳ καὶ τὸ ἄνθος ὠθεῖ· δοκεῖ δὲ καὶ πρότερον· ῥίζα δὲ πολλὴ καὶ σαρκώδης καὶ τὸ ὅλον εὔζωον· φιλεῖ δὲ καὶ πατεῖσθαι καὶ γίνεται καλλίων κατατριβομένης πάτῳ τῆς ῥίζης· διὸ δὴ καὶ παρὰ τὰς ὁδοὺς καὶ ἐν τοῖς κροτη-
11. τοῖς κάλλιστος. ἡ δὲ φύτεια ἀπὸ ῥίζης. ταῦτα μὲν οὖν οὕτω γεννᾶται. τὰ δ' ἄλλα ἄνθη τὰ προειρημένα πάντα σπείρεται οἷον ἰωνία διόσανθος ἴφυον
7 H. φλόξ ἡμεροκαλλές· καὶ γὰρ αὐτὰ καὶ αἱ ῥίζαι ξυλώδεις· σπείρεται δὲ καὶ ἡ οἰνάνθη· καὶ γὰρ καὶ τοῦτο ἀνθῶδες. τὰ μὲν οὖν ἀνθικὰ σχεδὸν ἐν τούτοις καὶ τοῖς ὁμοίοις ληπτέον.

7 St. Cap. VII. Τὰ δὲ ἕτερα πάντα μὲν ἀνθεῖ καὶ σπερμοφορεῖ, δοκεῖ δὲ οὐ πάντα διὰ τὸ μὴ φανερὸν εἶναί τινων τὸν καρπόν· ἐπεὶ καὶ τὸ ἄνθος ἐνίων ἀμαυρόν· ἀλλ' ὅτι βραδέως καὶ χαλεπωτέρως παραγίνεται, τῇ φυτείᾳ χρῶν-

χριθωνία] P₂ Ald.; *κριθωνιὰ* Sch.

ἐν ὑμένι] P₂ Ald. Edd.; *ἐνομένι* M₁; *ενο-ο ἐμενι* M₂. — Ante haec *καὶ* om. St.

ἀγγείῳ καρπὸν μ.] H. Sch.; *καρπὸν* om. UMP₂ Ald. G. St., inseruit primus Dalec. e Dioscor. 4, 161 ubi est *καρπὸς ὡς ἐν ὑμένι μέλας προμήκης*. Ald. dat *μέσαν*, quod primo corr. mBas.; P *μέγαν*. — Post *μάλα* inserit i. u. *φέρει* St.

προμήκη] *προμήκει* M.

ἔχει ῥίζαν] Ald. H.; *ἐ. δὲ ῥ.* Sch.; *ἔχει γ. ῥ.* St. Mihi verba *ἔχει — μεγάλην* valde suspecta sunt. Exc. P₂ habet *ῥίζαν φυτεύουσιν ἡ σαρκώδης ἐστὶ καὶ μεγάλη καὶ στρογγύλη*.

10. *κρόκος*] mBas. St. Sch.; *crocus* G.; *καρπὸς* Ald. H.

στενῷ] Linkius mavult *στενωτέρῳ*. Noli credere.

ὁποτέρως τις λαμβάνοι] U; *ὁ τ. λαμβάνει* Ald. Edd.; *ὁποτέρως ἄν τις λαμβάνῃ* olim scriptum fuisse suspicatur Sch. At optativus unus est verus.

μετὰ πλειάδα] dedi e conjectura; *πληϊάδα* U; *πλοιάδη* M; *πλιμάδι* Ald. Edd. o., omnes sine praepositione, qua oratio soluta carere nequit. — *κατ' ὀλίγας* St.

τὸ ἄνθος] UMP St. Sch.; *τὸ* om. Ald. H.

εὔζωον] UM Ald. Sch.; *εὔζωος* H. St.

καλλίων] corr. Sch.; *καλλίω* Ald. Edd.

πάτῳ] sic corr. Turneb. Adv. 16, 16, Victor. V. L. 14, 8 et Salmas. Ex., St. Sch.; *κάτω* Ald. H.

κροτητοῖς] *juxta semitas ac fontes* Plin. 21 s. 17, unde G. *juxta semitas fontesque*.

11 *ἴφυον*] P Athen. p. 680. H. St. Sch.; *iphyum* G.; *ἴφυσον* Ald. Vide ad 7, 13, 7. Laudat haec ex Athenaeo Eustath. 1049, 38.

ἰωνία] Ald. Edd.; *ἰωνιὰ* Sch.; *ἰνωνία* M; *ἴον* Athen. l. l.

ἡμεροκαλλὲς] UM St. Sch.; *ἡμεροκαλὶς* Ald. H.

καὶ γὰρ αὐτὰ] UMP Sch.; *nam et ipsa* G.; *καὶ γὰρ αὐαὶ* Ald.; *καὶ αὐταὶ* H.; *καὶ αὐτῶν δὲ αἱ ῥ.* St.

ἀνθῶδες] *nec enim haec excludi a floribus debet* G.; *ἀνθώδης* significat *multos habens florens*, idque hoc loco aptissimum.

ανθικὰ] corr. Scal. St. Sch.; *ἀκανθικὰ* Ald. H.; *quae dicata floribus sunt* G.

Cap. VII.

τὰ δὲ] *τὰ μὲν οὖν ἕ. π. ἀνθεῖ* St.

ἀλλ' ὅτι] dedi de conj.; *ἄλλα δὲ* UMP Ald.; H. St. additis *διὰ τὸ*; *ἄλλων δὲ διὰ τὸ βρ.* Sch.; *Quin etiam quod lentius difficiliusque seminata perficiuntur planta uti consueverunt* G. Dein *παραγίνεται* UMP Ald.; *παραγίνεσθαι* H. St. Sch.

ται μᾶλλον ὥςπερ ἐλέχθη καὶ κατ' ἀρχάς. καίτοι διατείνονταί τινες ὡς οὐκ 2.
ἐχόντων καρπόν· αὐτοὶ γὰρ ξηρᾶναι πολλάκις καὶ ἀποτρίψαι καὶ σπεῖραι, καὶ
οὐδεπώποτε βλαστεῖν οὔτε ἕρπυλλον οὔτε ἑλένιον οὔτε σισύμβριον οὔτε μίνθαν·
πεπειρᾶσθαι γὰρ καὶ ταύτης. ἀλλ' ὅμως ἐκεῖνο ἀληθέστερον οἵ τε πεπειρᾶ-
σθαι φάσκοντες καὶ τούτων εἰσὶν, ἥ τε τῶν ἀγρίων φύσις ἐπιμαρτυρεῖ· καὶ
γὰρ ἕρπυλλός ἐστιν ἄγριος, ὃν κομίζοντες ἐκ τῶν ὀρῶν φυτεύουσι καὶ ἐν Σικυ-
ῶνι καὶ Ἀθήνῃσιν ἐκ τοῦ Ὑμηττοῦ· παρ' ἄλλοις δὲ ὅλως ὄρη πλήρη καὶ λό-
φοι καθάπερ ἐν τῇ Θράκῃ· καὶ σισύμβριον δὲ καὶ τἆλλα ὁριμυτέραν ἔχοντα
τὴν ὀσμήν· ἕρπυλλος δ' ἐνίοτε καὶ παντελῶς θυμώδης· ἃ δῆλον ὅτι ταύτην
τὴν γένεσιν λαμβάνει. ἀβρότονον δὲ μᾶλλον ἀπὸ σπέρματος βλαστάνει ἢ ἀπὸ 3.

φυτ. χρῶνται] Sch.; *δὲ* interseruit UMP Ald.; *τῷ φυτῷ* add. H. St.

2. *ἐχόντων*] *ἔχονται* St.

ἀποτρίψαι] *ἀποτρίψαι* U.

καὶ οὐδεπώποτε βλ.] UM; *καὶ οὐδέποτε βλ.* P; *οὐδέποτε β*. Ald.; *οὐδέποτε δὲ βλ.* H. St. Sch., qui in Syll. *οὐδεπώποτε* subsituit. — *σπεῖρε* M.

ἕρπυλλον] Ald. Edd.; *ἕρπυλον* Sch.

ἑλένιον] St.; *ἐλλένιον* Ald. Cam.; *ἑλλένιον* Bas.; *ἑλένιον* H. Sch. Vide ad c. 1, 1.

μίνθαν] UM Sch. St.; *μίνθην* P; *μίνθον* Ald. H.

πεπειρᾶσθαι γὰρ καὶ ταύτης — εἰσὶν] Ald. H. St.; prima quatuor verba om. Sch. atque quae sequuntur *οἵ τε — εἰσὶν* retracta illorum loco posuit; in Cur. sec. p. 487 verba ista post *ἐχόντων καρπόν* retrahenda esse censet. *Neque mente: nam hujus quoque periculum se fecisse affirmant. Attamen illud verius est. Neque desunt qui vel haec experti fuerunt et natura ipsa* etc. G.

ἕρπυλλος] Ald. Edd.; *ἕρπυλος* Sch.

Σικυῶνι] UM Sch.; *συκιῶνι* Ald. Edd.

ὅλως ὄρη πλήρη] Ald. Edd. o.; Athenae. l. l. *ὄρη π*[illegible]*ήρη ἐστὶ τοῦ ἄνθους* omisso *ὅλως*, a quo verba *τοῦ ἄνθους* recepit i. u. Sch., minus recte. Idem *ὅλα ὄρη* fuisse conjicit.

καὶ λόφοι] dedi de conj.; *καὶ τόποι* Ald. Edd. Nonne, quaeso, *ὄρη* etiam sunt *τόποι*? G. *plana omnia*, quam is inepto *τόποι* significationem subdidit. *καὶ τόποι ἄγριοι* St.

καὶ σισύμβριον δὲ] scil. *ἔστιν ἄγριον*. Noli enim Plinium audire, qui dixit *simili modo et sisymbrium serunt*. Quae sequuntur de serpyllo sic addit, ut quoniam mentionem fecit stirpium graveolentium, quippe quae sylvestria sunt — coluntur enim nonnisi ea quae grato gaudent odore — esse genus ejusdem summopere graveolens idemque igitur sylvestre, nos admoneat.

ἕρπυλλος] Ald. Edd.; *ἕρπυλος* Sch.

ἐνίοτε] correxi; *ἐνίοις* Ald. Edd. Aut *παρ' ἐνίοις* aut *ἐνίοτε* aut *ἐνιαχοῦ* scribendum; levissimam mutationem praetuli.

θυμώδης] *θυμβρώδης* corrigit Sch. in Syll. ductum e §. 5. At *θύμον* etiam est forti odore.

ἃ δῆλον ὅτι] sic U; *ἄδηλον ὅτι* M Ald.; *δῆλον οὖν ὅτι* mBas. H. St. Sch.; *constat ergo* G.

ταύτην τὴν γ. λ.] sic correxi; *πάντα τὴν γ. λ.* UM Ald. Fortasse licet *πάντα* servare et *ταύτην* inserere cum haec vox inter *πάντα* et *τὴν* facile potuerit excidere; *πάντα τὴν γέν. ἀπὸ σπέρματος λαμβ.* dederunt H. St. Sch., secuti Gazam: *quod omnia sui ortus primordium semine capiunt.* At Th. non dicit *omnia seminibus propagari*, sed *omnia habere semina etiam quae non credantur*, idque docet sic ut illorum quibus nonnulli semina abrogant, pleraque sylvestria esse ostendat ac in sylvis ac montibus propagari, ubi nulla deplantandi ars subveniat, per semina igitur propagari illa necesse sit.

3. *ἀβρότονον δὲ — θέρους*] Dedi scripturam Aldinae, praeter *δὲ* ante *ἐν* insertum, quam etiam U et M1 habere videntur. M1 habet *ἀβρότανον — βλαστάνε*; M2 *ἀβρότανον — βλαστάνε· μᾶλλον ἢ ἀπὸ ῥ.*; *ἀβρότονον — βλαστάνει μᾶλλον ἢ* P. Gaza: *Sed abrotanum radice aut avulsione potius quam semine germinat. Semine enim difficulter exit: et hoc testis antea vivaradicis causa intimato quemadmodum Adonidis ortulos emoliuntur.* Inde ductae sunt notae marginales ed. Bas. *ἀβρ. δὲ μ. ἀπὸ ῥίζης καὶ παρασπάδος βλ. ἢ ἀπὸ σπέρματος* ac dein *σπείρεται τοῦ θέρους*, quod dederunt H. St. mutatis modo *τοῦ θέρους δὲ σπείρεται*; *ἀβρ. δὲ μ. ἀπὸ ῥίζης καὶ παρασπάδος βλαστάνει ἢ ἀπὸ σπέρματος· χαλεπῶς δὲ καὶ ἀπὸ παρασπάδος προμοσχευόμενον· ἐν ὀστρακοις δὲ ὥςπερ οἱ Ἀδώνιδος κῆποι σπείρεται τοῦ θέρους* Sch. Plinii locus huc

ῥίζης καὶ παρασπάδος· χαλεπῶς δὲ καὶ ἀπὸ σπέρματος· προμοσχευόμενον δὲ ἐν ὀστράκοις ὥσπερ οἱ Ἀδώνιδος κῆποι τοῦ θέρους· δύσριγον γὰρ σφόδρα καὶ ὅλως ἐπίκηρον καὶ ὅποι ὁ ἥλιος σφόδρα λάμπει· ἐμβιῶσαν δὲ καὶ αὐξηθὲν μέγα καὶ ἰσχυρὸν καὶ δενδρῶδες ὥσπερ τὸ πήγανον πλὴν ξυλωδέστερον πολὺ
1. τοῦτο καὶ ξηρότερον καὶ αὐχμωδέστερον. ὁ δὲ ἀμάρακος ἀμφοτέρως φύεται καὶ ἀπὸ παρασπάδος καὶ ἀπὸ σπέρματος· πολύσπερμον δὲ καὶ τὸ σπέρμα εὔοσμον ὀσμῇ μαλακωτέρᾳ. δύναται δὲ καὶ μεταφυτεύεσθαι. πολύσπερμον δὲ καὶ τὸ ἀβρότονον καὶ οὐκ ἄοσμον. τοῦτο δὲ ῥίζας μὲν ἔχει ὀρθὰς καὶ κατὰ βάθους. ἔστι γὰρ ὥσπερ μονόρριζον τῇ παχείᾳ τὰς δ' ἄλλας ἀφίησιν ἀπ' αὐτῆς· ὁ δ' ἀμάρακος καὶ ὁ ἕρπυλλος καὶ τὸ σισύμβριον καὶ τὸ ἑλένιον ἐπιπολαίους καὶ πολυσχιδεῖς καὶ ταρρώδεις· ξυλώδεις δὲ πᾶσαι πολὺ δὲ μᾶλλον ἡ
5. τοῦ ἀβροτόνου καὶ διὰ τὸ μέγεθος καὶ τῇ ξηρότητι. τοῦ δὲ ἑρπύλλου ἴδιος ἡ αὔξησις ἡ τῶν βλαστῶν· δύναται γὰρ ἐφ' ὁσονοῦν προϊέναι κατὰ μῆκος χάρακα λαβὼν ἢ πρὸς αἱμασιὰν φυτευθεὶς ἢ κάτω καθιέμενος· εὐαυξέστατος δὲ εἰς φρέαρ. εἴδη δὲ τοῦ μὲν ἡμέρου λαβεῖν οὐκ ἔστι καθάπερ ἐλέχθη. τοῦ δὲ ἀγρίου φασὶν εἶναι. τοῦ γὰρ ἐν τοῖς ὄρεσιν τὸν μὲν θυμβρώδη τινὰ καὶ δριμύ-
6. τατον τὸν δ' εὔοσμον εἶναι καὶ μαλακώτερον. ὥρα δὲ τῆς φυτείας πλείστων μετόπωρον ἐν ᾧ σπεύδουσιν ὡς πρῶτα φυτεύειν· οὐ μὴν ἀλλ' ἔνια καὶ τοῦ ἦρος φυτεύουσιν. ἅπαντα φιλόσκια καὶ φίλυδρα καὶ φιλόκοπρα μάλιστα αὐχμὸν δὲ δέχεται καὶ ὅλως ὀλιγοῦδρότατος ὁ ἕρπυλλος. κόπρῳ δὲ χαίρει μάλιστα δὲ

pertinens 21, 10, s. 34 valde perplexus, sed favet librorum scripturae. Schneiderus locis omnibus, quibus agitur de abrotono, comparatis, non effecit ut de scriptura probe iudicari possit. Si Th. aliis locis, ut C. pl. 1, 4, 2, tradit abrotonon propagari per surculos resectos vel dissectas caulis summitates, id nihil impedit quominus hoc loco sic doceat: *abrotonum facilius egerminat e seminibus quam e viviradicibus et deplantatis surculis: sed e semine quoque aegre prodit* (est enim, quod mox docet, mollis planta ac facile et a frigore et a calore nimio laeditur); *quamobrem viviradices ipsa aestate in ollas deponunt.* Addo, quod in mentem venerit scribendum esse *χαλεπῶς δ' ἀνθεῖ ἀπὸ σπέρματος· διὸ προμοσχεύεται.*

προμοσ.] U Sch.; *προμισχ.* Ald. Edd. St. *καὶ* praemisit.

ὅποι] UM; *ὅπου* cett. omnes. Ordinem mutavit Schn. *ὅπου καὶ* Ald. Edd.; *ὅπου δὲ καὶ* St.

αὐχμωδ.] H. St. Sch.; *ἀχμωδ.* Ald.

4. *ὀσμῇ μαλακωτέρᾳ*] U Sch.; *ὀσμὴ μαλακωτέρα* Ald. M; *ὀσμὴ δὲ μαλακωτέρα* H. St.

μεταφυτεύεσθαι] corr Sch.; *planta ejus transferri potest* G.; *μεταφύεσθαι* Ald. Edd.

ἄλλας ἀφίησιν ἀπ' αὐτῆς] Vocem *ἀφίησιν* adjeci e conjectura, om. Ald. Edd.; *ἄλλας ἀπ' αὐτῆς λεπτὰς ἔχει* dedit Schn.

ἕρπυλλος] Ald. Edd.; *ἕρπυλος* Sch.

ἑλένιον] H. St.; *ἰλλένιον* Ald.; *ἰλένιον* Sch.; *ἑλλενικὸν* M. Vide ad. c. 1, 1.

ἐπιπολαίους] corr. Scal. H. St. Sch.; *ἐπὶ πολλοὺς* M Ald.; *ἐπιπολεῖς* Vo.

ἡ τοῦ ἀβρ.] U Ald. Edd.; *αἱ τ. ἀ.* St.

ἡ τῶν βλ.] sic. Ald. Edd.; *ἡ ἐκ τῶν βλ.* Schn. At hoc quidem loco nihil de generatione e surculis dicitur, sed surculos vel ramulos longissimos serpyllum emittere docemur.

καθιέμενος· εὐαυξέστατος δὲ ε. ῥ.] Hoc ordine U Ald. H. St.; *εὐεξέταστος* Ald. H.; *εὐαυξίστατος* St. Sch.; *εὐαξίστατος* U; *εὐεξίστατος* Vo.; *καθιέμενος εἰς φρέαρ· εὐαυξ'στατος γὰρ* Sch.

τοῦ γ'ρ] U, Sch.syll.; *τοῦτο γ.* M Ald.; *τοῦτον γὰρ* H. St. Sch

τὸν δ' εὐ.] *τῶν δ'* om. UM.

πλείστων μετόπωρον] correxi cum Sch. qui *τῶν πλ. τὸ μετ.* dedit; *πλεῖστον μετόπωρον* Ald. Edd.

6. *πρῶτα*] Sch. syll. corr. *πρωϊαίτατα*, bene.

φιλόσκια] cum Scal. corr. H. St. Sch.; *φιλοίκια* UM Ald.; *umbram — amant* G.

ὁ ἕρπυλλος] *ὁ* om. M; *ἕρπυλος* Sch.

καὶ τῇ τῶν λοφούρων· φασὶ δὲ καὶ μεταφυτεύειν δεῖν πολλάκις· καλλίω γάρ. τὸ δὲ σισύμβριον ὥςπερ ἐλέχθη καὶ ἐξίσταται μὴ μεταφυτευόμενον.

Cap. VIII. Τῶν δ' ἀνθῶν τὸ μὲν πρῶτον ἐκφαίνεται τὸ λευκόϊον, ὅπου μὲν 8 St.
ὁ ἀὴρ μαλακώτερος εὐθὺς τοῦ χειμῶνος, ὅπου δὲ σκληρότερος ὕστερον, ἐνιαχοῦ τοῦ ἦρος. ἅμα δὲ τῷ ἴῳ ἢ μικρόν τι ὕστερον καὶ τὸ φλόγινον καλούμενον τὸ ἄγριον· ταῦτα γὰρ ὧν οἱ στεφανήπλοκοι χρῶνται πολὺ ἐκτρέχει τῶν ἄλλων. μετὰ δὲ ταῦτα ὁ νάρκισσος καὶ τὸ λείριον, καὶ τῶν ἀγρίων ἀνεμώνης γένος τὸ καλούμενον ὄρειον, καὶ τὸ τοῦ βολβοῦ κώδυον· ἐμπλέκουσι γὰρ ἔνιοι καὶ τοῦτο εἰς τοὺς στεφάνους. ἐπὶ δὲ τούτοις ἡ οἰνάνθη καὶ τὸ μέλαν ἴον καὶ τῶν ἀγρίων ὅ τε ἐλειόχρυσος καὶ τῆς ἀνεμώνης ἡ λειμωνία καλουμένη καὶ τὸ ξίφιον καὶ ὑάκινθος καὶ σχεδὸν ὅσοις ἄλλοις χρῶνται τῶν ὀρείων. τὸ δὲ ῥόδον ὑστε- 2
ρεῖ τούτων καὶ τελευταῖον μὲν φαίνεται πρῶτον δ' ἀπολείπει τῶν ἐαρινῶν· ὀλιγοχρονία γὰρ ἡ ἄνθησις. ὀλιγοχρόνια δὲ καὶ τῶν ἀγρίων τὰ λοιπὰ πλὴν τῆς ὑακίνθου καὶ τῆς ἀγρίας καὶ τῆς σπαρτῆς· αὕτη δὲ διαμένει καὶ τὸ λευκὸν ἴον καὶ ἔτι πλείω τὸ φλόγινον· τὸ δὲ δὴ μέλαν ἴον ὥςπερ εἴρηται δι' ἐνιαυτοῦ θεραπείας τυγχάνον. ὡσαύτως δὲ καὶ ἡ οἰνάνθη, καὶ γὰρ τοῦτο ἀνθικὸν μὲν ποῶδες δὲ τὴν φύσιν, ἐάν τις ἀποκνίζῃ καὶ ἀφαιρῇ τὸ ἄνθος καὶ μὴ ἐᾷ σπερματοῦσθαι καὶ ἔτι τόπον εὔειλον ἔχῃ· τὸ δὲ ἄνθος βοτρυῶδες καὶ λευκὸν καθάπερ τῶν ἀγρίων . . ταῦτα μὲν οὖν ὥςπερ ἐαρινὰ φαίνεται. τὰ δὲ θερινὰ μᾶλλον 3

ἐξίσταται] corr. Scal. H. St. Sch.; *degenerat* G.; *ἐξήτασται* M Ald.

μεταφυτευόμενον] corr. Sch.; *nisi transferatur* G.; *καταφυτευόμενον* Ald. Edd.

Cap. VIII.

τὸ μὲν] corr. Scalig. Sch.; *τοῦ μὲν* Ald. H.; *τοῦ μὲν ἦρος πρ.* St. Plin. 21, s. 38. *Florum primo ver nunciantium viola alba*, ac si scriptum legisset *τὸ ἔαρ πρῶτον ἐκφαινόντων*.

ἐκφαίνεται] Ald. Edd.; *ἐκφαίνονται* UM.

ἐνιαχοῦ τ. ἦ.] om. St.; *ἐν. δὲ τ. ἦ.* Sch.

μικρόν τι ὕστερον] mBas. Sch.; *μικρότερον τι γέρον* UM et Ald. quae ante *τι* signum vitii posuit; *μικρότερόν τι ὕστερον* H. St.; *paulo post* G.

φλόγινον] Ald. H.; *φλόγιμον* St.; *φλόγιον* Sch. auct Salm. Ex. p. 863.

καὶ τῶν — καλούμενον ὄρειον] Haec verba omissa in Ald. Edd. nec non in codicibus, inseruit Sch. ex Athenaeo p. 680 sic scripta: *καὶ τῶν ὀρείων ἀνεμώνης γένος τὸ καλ. ὄριον.* Edd. Athen. habent *καὶ τῶν κατὰ τριῶν ἀνεμ. γένος τὸ καλ. ὄριον*; codices vero *καὶ τῶν οριων μανεμωνηνης γένος τὸ καλ. ὄριον.* Facile vides ex iis quae paullo post sequuntur scribendum esse non *τῶν ὀρείων* sed *τῶν ἀγρίων*. Ipse haec ex Athenaeo accepta adjungere non dubitavi, quoniam excidisse quaedam docent proxima. Sejungit enim utroque loco cultas a sylvestribus, atque ex eo quod infra *ἀνεμώνη λειμωνία* nominatur, conjicere licet aliam anemones speciem prius commemoratam fuisse. Bene autem *Anemonae pratensi* respondet *Anemone montana*.

βολβοῦ κώδυον] UM Sch.; *β. κώδιον* Ald. Edd.; *τὸ βολβουκώδιον* St.

ἐλειόχρυσος] Cf. ad 9, 19, 3.

καὶ ὑακ.] *καὶ ἡ ὑακ.* St. Sch.

2. *ὀλιγοχρονία γάρ*] corr. Sch.; *ὀλιγοχρόνια γὰρ* M; *ὀλιγοχρόνιος γ.* Ald.

ὀλιγ. δὲ καὶ] corr. cum Dalec. St. Sch.; *ὀλ. γὰρ καὶ* Ald. H. M.

πλείω τὸ φλόγινον] U Sch.syll.; *μᾶλλον τὸ φλόγιον* Ald. H. Sch.; *μᾶλλον τὸ φλόγιμον* St.; *πλείω τὸ φλόγιον* M.

τυγχάνον] *τυγχάνει* St.

ἀνθικὸν μὲν ποῶδες δὲ] Haec non satis concinna sunt: vide ne vitium lateat. *ἐνῶδες* conj. Dalecamp.

καὶ ἔτι τόπον] sic correxi; *κ. ὅτι τόπον* U M Ald.; *κ. ὅταν τ.* H. St. Sch. *ὅταν* non aptum est; debebat aut *ἐὰν* aut *ὅπου ἄν* esse.

εὔειλον] U Sch.; *εὔηλον* Ald. Edd.

ἔχῃ] corr. Sch.; *ἔχει* Ald. Edd.

τῶν ἀγρίων] Aut deest aliquid aut vox *ἀγρίων* vitiosa est; *τῆς ἀμπέλου ἀγρίου* St.; *ἀμπέλου τῆς ἀγρίας* Sch. Gaza enim *ut labruscae*.

ἥ τε λυχνὶς καὶ τὸ διόσανθος καὶ τὸ κρίνον καὶ τὸ ἴφυον καὶ ὁ ἀμάρακος ὁ φρύγιος· ἔτι δὲ ὁ πόθος καλούμενος· οὗτος δ' ἐστὶ διττός, ὁ μὲν ἔχων τὸ ἄνθος ὅμοιον τῇ ὑακίνθῳ, ὁ δὲ ἕτερος ἄχρους λευκὸς ᾧ χρῶνται περὶ τοὺς τάφους· καὶ χρονιώτερος οὗτος. ἀνθεῖ δὲ καὶ ἡ ἶρις τοῦ θέρους καὶ τὸ στρούθιον καλούμενον· τῇ μὲν ὄψει καλὸν τὸ ἄνθος ἄοσμον δέ. μετοπώρου δὲ τὸ λείριον τὸ ἕτερον καὶ ὁ κρόκος, ὅ τε ὀρεινὸς ἄοσμος καὶ ὁ ἥμερος· εὐθὺς γὰρ ἀνθοῦσι τοῖς πρώτοις ὕδασι. χρῶνται δὲ καὶ τῶν ἀγρίων τῷ τῆς ὀξυακάνθου
4. καρπῷ καὶ τῷ ἄνθει τῷ τῆς μίλακος. καὶ ταῖς μὲν ὥραις οὕτως ἑκάστων ἡ γένεσις. ὡς δὲ ἁπλῶς εἰπεῖν οὐδεὶς διαλείπεται χρόνος οὐδ' ἔστιν ἀνανθὴς ἀλλὰ καὶ ὁ χειμὼν ἔχει καίπερ ἄγονος δοκῶν εἶναι διὰ τὴν κατάψυξιν τῶν μετοπωρινῶν μεταλαμβανόντων, ἐὰν δὲ δὴ καὶ μαλακὸς ᾖ πολλῷ μᾶλλον. ἁπλῶς γὰρ πάντ' ἢ τὰ πολλὰ καὶ ἐπεκτείνεται τῆς οἰκείας ὥρας, καὶ ἐὰν ὁ τόπος εὔειλος ᾖ μᾶλλον· δι' ὃ καὶ συνέχεια γίνεται. χρόνοι μὲν οὖν οὗτοι καὶ ὧραι
5. κατὰ τὰς γενέσεις. βίος δὲ ἰωνίας μὲν τῆς λευκῆς ἔτη μάλιστα τρία· γηράσκουσα δὲ ἐλαττοῦται καὶ ἧττα λευκότερα φέρει. ῥοδωνίας δὲ πέντε τὰ πρὸς τὴν ἀκμὴν μὴ ἐπικαομένης· χείρω δὲ καὶ ταύτης τὰ ῥόδα γηρασκούσης. πρὸς εὐοσμίαν δὲ καὶ ῥόδων καὶ ἴων καὶ τῶν ἄλλων ἀνθῶν μέγιστον ὁ τόπος συμβάλλεται καὶ ὁ ἀὴρ πρὸς ἕκαστον οἰκεῖος· ἐν Αἰγύπτῳ γὰρ τὰ μὲν ἄλλα πάντ' ἄοσμα καὶ ἄνθη καὶ ἀρώματα, αἱ δὲ μυρρίναι θαυμασταὶ τῇ εὐοσμίᾳ. προτερεῖν δέ φασι τῶν ἐνταῦθα καὶ ῥόδα καὶ ἴα καὶ τὰ ἄλλα ἄνθη καὶ διμήνῳ καὶ διαμένειν
6. πλείω τῶν παρ' ἡμῖν ἢ οὐκ ἐλάττω χρόνον ταῦτα. δοκεῖ δὲ πολὺ πρὸς εὐοσ-

3. *κρίνον*] sic corr. Sch. ex Athenaeo; *τὸ κήρινθον* Ald. H.; *ὁ κήρινθος* St.; *corinthus* G.; *alterum genus lilii* Plin. 21 s. 39.
ἴφυον] *ἴφυσον* St.
ἔτι δὲ] *ἔτι τε* M.
λευκὸς] *ἐκλευκος* Athenae. l. l.
ἶρις] *ἴερις* mBas. Gaza enim *conseratrix*.
τῇ μὲν ὄψ.] *μὲν* om. Ald. Edd., addidit Schn. ex Athenaeo.
ἄοσμον δὲ] UMP mBas. Sch.; *εὔοσμον* Ald. Edd.
δὲ τὸ λ.] mBas. Sch.; *τὸ δὲ λ.* Ald. Edd.
ἄοσμος] UMP mBas.; *εὔοσμος* Ald. H. St.; *ὁ ἄοσμος* Sch.
τῶν ἀγρ.] Ald. Sch.; *ὁ τ. ἀ.* H.; *ex τ. ἀ.* St.
καρπῷ] seclusit h. v. Schn.; deinceps *τῷ* om. U.
μίλακος] U; *μάλακος* Ald.; *σμάλακος* H.; *σμίλακος* St. Sch. Cf. ad 1, 10, 5.

4. *καίπερ ἄγονος*] *καὶ ὑπεράγονος* M.
πάντ' ἢ τὰ πολλά] St. Sch.; *πάντη τὰ πολλὰ* Ald. H.; *πάντα τὰ πολλὰ* P.
καὶ ἐὰν] *καὶ ἐὶ* H.
εὔειλος] U Sch.; *εὔηλος* Ald. Edd.
χρόνοι μὲν οὖν οὗτοι] Ald. Edd.; *χρόνιοι μὲν οὗτοι* UM.

5. *ἴα λευκ.*] corr. St. Sch.; *ἀεὶ λευκ.* Ald. *ἀεὶ λευκότερον* Ps; *ἀεὶ λευκ.* H.
ἀκμὴν] Scal. St. Sch.; *ἀκτὴν* Ald. H.; *ad vigorem* G.
μὴ ἐπικαομένης] *ἐπικαομένης* dat U, num etiam *μὴ* non constat; *ἐπικωμένης* M; *καὶ ἐπικωμένης* Ald.; *μὴ ἐπικαιομένης* H. St. Sch.; *ἀκμὰν ἐπικαιομένης* Vo.
μέγιστον] Ald. Edd. o.; *μέγιστος* UM.
οἰκεῖος] Vo. mBas. St. Sch.; *οἰκείως* Ald. H.
ἄλλα πάντ' ἄοσμα] U Sch.; *πάντα ἄλλα εὔοσμα* Ald. H. St.; *ἄοσμα* etiam M Vo. mBas.
ἄνθη] St. Sch.; *ἀνανθῆ* Ald. H.; *florosque aromata dicta* G. Cf. C. pl. 6, 19, 4.
μυρίναι] Ald. Edd.; *μυρίναι* M.
ῥόδα καὶ ἴα] Ald. Edd.; *ῥόα καὶ ἴσα* U; *ῥόα καὶ ἶσα* M.
διαμένειν] Ald. Edd.; *διαβαίνειν* UM.
ἢ οὐκ ἐλ.] Sch.; *ἢ* om. Ald. H. St.
χρόνον] Ald. Edd; *χρόνῳ* UM. Deinceps *τούτου* Ald. Edd., quod mutavi in *ταῦτα*. Fortasse locus est lacunosus; certe *τούτου* non erit ferendum. St. dedit: *φασι τὰ τῶν ἐνταῦθα — ἄνθη διμήνῳ*.

6. *πολὺ*] U Sch.syll.; om. ceteri. — Paulo mox alterum *τοῖος* om. M.

μίαν διαφέρειν ὥςπερ ἐλέχθη καὶ ὁ ἐνιαυτὸς τοῖος ἢ τοῖος γενόμενος, οὐ μόνον ἐπομβρίαις καὶ αὐχμοῖς ἀλλὰ καὶ τῷ κατὰ καιρὸν γίνεσθαι καὶ ὕδατα καὶ πνεύματα καὶ ἁπλῶς τὰς τοῦ ἀέρος μεταβολάς. τὰ δὲ ἐν τοῖς ὄρεσιν ὡς ἁπλῶς εἰπεῖν καὶ ῥόδα καὶ ἴα καὶ τὰ ἄλλα ἄνθη τῇ ὁσμῇ πολλῷ χείρω γίνεσθαι. καὶ περὶ μὲν τῶν στεφανωματικῶν καὶ ἁπλῶς τῶν φρυγανικῶν σχεδὸν ἐν τούτοις καὶ τοῖς ὁμοίοις ἐστὶν ἡ ἱστορία.

κατὰ καιρὸν] Sch.; *καιρόν τινα* Ald.; *κατὰ καιρόν τινα* cum Scal. St.

τῇ ὁσμῇ πολλῷ] sic Ald. Edd. Sed *τῇ δὲ ὁσμῇ ποιᾷ* UM, unde conjicias proxima sic scripta fuisse *καὶ ἴα καὶ τὰ ἄλλα καλῶς μὲν ἀνθεῖ* vel *ἀνθεῖν*.

γίνεσθαι] UM Ald. Edd.; *γίνεται* Schn. e vers. Gazae. Mihi a *δοκεῖ* aptus esse infinitivus videtur. — In ipso fine *ἡ* om. U.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Η.

Κεφ. Ι. Ἑπόμενον δὲ τοῖς εἰρημένοις περὶ τῶν ποιωδῶν εἰπεῖν· τοῦτο γάρ ἐστι λοιπὸν τῶν ἐξ ἀρχῆς διαιρεθέντων γενῶν, ἐν ᾧ συμπεριλαμβάνονταί πως τὸ λαχανηρὸν καὶ τὸ σιτῶδες. καὶ πρῶτον περὶ τοῦ λαχανώδους λεκτέον ἀρξαμένους ἀπὸ τῶν ἡμέρων, ἐπεὶ γνώριμα μᾶλλον τυγχάνει τῶν ἀγρίων. εἰσὶ δὴ τρεῖς ἄροτοι πάντων τῶν κηπευομένων ἐν οἷς ἕκαστα σπείρουσι διαιροῦντες ταῖς ὥραις. εἷς μὲν οὖν ὁ χειμερινός, ἄλλος δὲ ὁ θερινός, τρίτος δὲ ὁ μεταξὺ
2 τούτων μεθ' ἡλίου τροπὰς χειμερινάς. καλοῦσι δ' οὕτως οὐ πρὸς τὴν σπορὰν βλέποντες ἀλλὰ πρὸς τὴν γένεσιν καὶ τὴν χρείαν ἑκάστου· ἐπεὶ ἥ γε σπορὰ σχεδὸν ἐν τοῖς ἐναντίοις γίνεται· τοῦ χειμερινοῦ μὲν γὰρ ἀρχὴ μετὰ τροπὰς θερινὰς τοῦ Μεταγειτνιῶνος μηνός, ἐν ᾧ σπείρουσι ῥάφανον ῥαφανίδα γογγυλίδα καὶ τὰ καλούμενα ἐπίσπορα· ταῦτα δ' ἐστὶ τεύτλιον θριδακίνη εὔζωμον λάπαθον νάπυ χορίαννον ἄνηθον κάρδαμον· καλοῦσι δὲ καὶ πρῶτον τοῦτον τῶν ἀρότων· τοῦ δὲ δευτέρου πάλιν μεθ' ἡλίου τροπὰς τοῦ Γαμηλιῶνος μηνός, ἐν

Κεφ. Ι.

τὸ λαχανηρὸν] U Sch.syll.; *τὰ λαχανηρὰ* Ald. Edd. o.

τῶν ἡμέρων] *τῶν* om. St.

γνώριμα] P H. St. Sch.; *γνώρισμα* Ald.

εἰσὶ δή] U Sch.syll.; *ἐ. οἱ* M; *ἐ. δὲ* Ald. Edd. o.

ἄροτοι] UMP$_2$ mBas. H. St. Sch.; *ἄνοτοι* Ald. Bas.; *ἄροτι* Cam.

ἄλλος δὲ] H. St. Sch.; *ἄλλός τε* Ald.; *ἄλλος τε* M.

2. *μετὰ τροπὰς θερινὰς*] corr. Scal. H. St. Sch.; *μ. τρ. χειμερινὰς* U (?) MP$_2$ Ald.; *quippe cum hyberni principium post aestivum solstitium sit* G. ed. Bas. et Par., sed *quippe c. h. pr. post bruma sit* ed. Tarv.

τοῦ Μεταγειτν. μ.] Sch.; *του. δὲ μεταγ. μ.* Ald. Edd.; *τοῦ δὲ μεταγειτονῶντος* P$_2$ *mense majo* G. ed. Tarv.; *mense Julio* G. ed. Bas. et Par.

ῥαφανίδα γογγυλίδα] *ῥαφανίδας γογγυλίδας* P$_2$.

ταῦτα δ' ἐστὶ] Ald. Edd. o.; *ταῦτα ἃ ἐστι* P$_2$.

τεύτλιον — κάρδαμον] *Betam Lactucam Frucam Rucam Rumicem Sinapi Coriannum Anethum Nasturcium* G. ed. Tarv.; *betam lactucam crucam rumicem* etc. ed. Bas. et Par.; *χοριαννον* U Bas. St. Sch.; *χοριανον* Ald. Cam. H.; *χοριαινον* P$_2$.

δὲ καὶ πρῶτον τ.] UPP$_2$ Sch.syll.; *καὶ* om. Ald. Edd.; *δὲ τοῦτον πρωτ.* St.

ᾧ σπείρουσι καὶ πηγνύουσι πράσον σέλινον γήθυον ἀδράφαξυν· τοῦ τρίτου δὲ ὃν καλοῦσι θερινὸν τοῦ Μουνυχιῶνος· ἐν τούτῳ δὲ σπείρεται σίκυος κολοκύντη βλίτον ὄκιμον ἀνδράχνη θύμβρον. ποιοῦνται δὲ πλείους ἀρότους τῶν ὁμοίων καθ' ἑκάστην ὥραν οἷον ῥαφανίδος ὠκίμου τῶν ἄλλων. πᾶσι δὲ σπείρεται τοῖς ἀρότοις τὰ ἐπίσπορα. διαφύεται δ' οὐκ ἐν ἴσοις πάντα χρόνοις ἀλλὰ τὰ μὲν θᾶττον τὰ δὲ βραδύτερον ὅσα δυσφυῆ. τάχιστα μὲν οὖν ὄκιμον καὶ βλίτον καὶ εὔζωμον καὶ τῶν χειμερινῶν ῥαφανίς· τριταῖα γὰρ ὡς εἰπεῖν. θριδακίναι δὲ τεταρταῖαι ἢ πεμπταῖαι. σίκυος δὲ καὶ κολοκύντη περὶ τὰς πέντε ἢ ἕξ, οἱ δέ φασιν ἑπτά· πρότερον δὲ καὶ θᾶττον ὁ σίκυος. ἀνδράχνη δ' ἐν πλείοσι τούτων. ἄνηθον δὲ τεταρταῖον. κάρδαμον δὲ καὶ νάπυ πεμπταῖα. τεύτλιον δὲ θέρους μὲν ἑκταῖον χειμῶνος δὲ δεκαταῖον. ἀδράφαξυς δὲ ὀγδοαία. ῥάφανος δὲ δεκαταία. πράσον δὲ καὶ γήθυον οὐκ ἐν ἴσοις ἀλλὰ τὸ μὲν ἐννεακαιδεκαταῖον ἐνιαχοῦ δὲ εἰκοσταῖον, γήθυον δὲ δεκαταῖον ἢ δωδεκαταῖον. κορίαννον δὲ δυσφυές· οὐδὲ γὰρ ἐθέλει βλαστάνειν τὸ νέον ἐὰν μὴ βρεχθῇ. θύμβρα δὲ καὶ ὀρίγανος ἐν πλείοσιν ἢ τριάκοντα. δυσφυέστατον δὲ πάντων τὸ σέλινον· τεσ-

σέλινον] P₂ H. St. Sch.; *σέληνον* M Ald. atque sic fere semper et in hoc et in sequente libro, semper correctum a Heinsio. *γήθιον* P₂.

ἀδράφαξυν] *ἀνάφαξιν* UP₂; *ἀνδράφαξιν* M mBas. Sch. cont.; *ἀνάφραξιν* Ald. H.; *ἀτράφαξιν* St.; *ἀνδράφαξυν* Sch.syll. Dedi omnibus locis Theophrasteis *ἀδράφαξυς*, quam scripturam uno tantum loco H. 3, 10, 5 codices UMP consensu suo commendant; altero 1, 14, 2 *ἀνδράφαξυς* U, tertio 7, 2, 6 *ἀνδραφάξεως* UM praebent; ceteris locis ubi cum Aldina editione *ἀνδράφαξυς* tenent, codicum nulla est varietas adnotata. Urbinas igitur scripturam *ἀνδράφαξυς* quamquam non satis liquido testimonio commendat. Alteram tamen praetuli litera *ν* omissa, quam tuentur Etymol. M.; Hesychius ubi cod. Venet. *ἀδραφάξους*; Eustath. ad Il. p. 345; Lexicogr. ap. Bekk. Anecd. p. 345: *Ἀδράφαξυς τὸ λάχανον ὅπερ οἱ πολλοὶ ἀνδράφαξυν καλοῦσι. κοριάννοις Φερεκράτης· ἀδράφαξυν ἐμοῦσ' εἶτ' ὀχλᾷ καθημένη*; Schol. Ven. ad Il. ε' v. 203 ubi *ἀδράφαξυς*; Aristoph. Eqq. v. 636 *ψευδατραφάξους* ubi Schol. *ἀτράφαξις δὲ εἶδος λαχάνου ὁ ταχέως εἰς μέγεθος αὔξεται*. Apud Artemidor. Oneirocr. 1, 67 est *ἀτράφαξυς* quam formam commemorat quoque Eustath. l. l. Dioscor. II. 145 *ἀτράφαξις*. Apud Galenum est *ἀνδραφαξυς* et *ἀδράφαξυς*. Hoc etiamnum dubito an rectius per *τ* scribatur *ἀτράφαξυς*; forsitan radix verbi *τρέφω* in hac voce inest.

τοῦ τρίτου] *τὸν τρίτον* P₂.

θερινὸν] corr. Scalig. mBas St. Sch.; *θέρι* Ald. H.; *νὸν* P₂.

σίκυος] *συκυος* M. om. P₂.

κολοκύντη] P₂ Ald. H. St. Sch.; *κολοκίντη* M; *κολοκύνθη* Bas.

βλίτον] U St. Sch.; *βλῆτον* P₂ Ald.; *βλήτον* H.

θύμβρον] *θύμβρα* St.; *satureia* G. Fortasse mutandum in *θύμβρα*. *θρύμβον* P₂.

πᾶσι δὲ σπ.] *ἐν* anteposuit St.

3. *βλίτον*] U St. Sch.; *βλῆτον* P₂ Ald. H.

καὶ κολοκύντη] *ἢ κ.* UP₂; iterum *κολοκύνθη* Bas.

δυσφυῆ] *διφυῆ* P.

τριταῖα] Ald. Edd. o.; *τριταῖα* P₂.

τεύτλιον δὲ θέρους] *τ. δὲ καὶ θέρους* U, quod si verum est excidit nomen plantae.

ἀδράφαξυς] *ἀνδράφαξυς* P₂ Ald. H. Sch.; *ἀτράφαξυς* St.

ῥάφανος δὲ] U Ald. H. Sch.; *δὲ* om. St.

πράσον] corr. Bod. St. Sch.; *πράσιον* P₂ Ald. H.

γήθυον] Ald. Edd.; *γήθυον* UP₂P.

ἐν ἴσοις] Ald. Edd.; *ἐν ὅσοις* UP₂; *ἐννόσοις* M.

τὸ μὲν] Bod. cum G. *πράσον* addi voluit.

γήθυον] Ald. Edd.; *γήθυνον* P.

κοριαννον] U Bas. St. Sch.; *κορίανον* Ald. Cam. H.: *κορρίανον* P₂.

οὐδὲ ; ἀρ] U Sch.syll.; *οὐ γὰρ* P₂ Ald. Edd. o.

βρεχθῇ] corr. Bod. St. Sch.; *ἑλιχθῇ* Ald. Cam. H.; *ἑλιχθῆ* P₂ Bas. Cf. C. pl. 4, 3. 1 ubi Ald. *βριχθέν*, UM *ἑριχθὲν* habent.

θύμβρα] *θύμβρος* P₂.

σαρακοσταῖον γάρ φασιν οἱ τὰ συντομώτερα λέγοντες, οἱ δὲ πεντηκοσταῖον καὶ
4. τοῦτο κατὰ πάντας τοὺς ἀρότους· ἐπισπείρουσι γάρ τινες ἐπὶ πᾶσιν. ὅλως δὲ ὅσα κατὰ πλείους ὥρας σπείρεται ταῦτ' οὐδὲν θᾶττον τὰ πολλὰ γίνεται τοῦ θέρους. καὶ θαυμαστὸν εἰ καὶ μηθὲν ἡ ὥρα συμβάλλεται καὶ ὁ ἀὴρ πρὸς τὸ θᾶττον, ἐὰν δὲ μοχθηρὰ καὶ ψυχρὰ καὶ τῷ ἀέρι περισκεπὴς βραδύτερον· ἐπεὶ καὶ χειμώνων ἢ εὐδιῶν ἐπιγινομένων τοῖς ἀρότοις ὁτὲ μὲν βραδύτερον ὁτὲ δὲ θᾶττον ἡ βλάστησις. διαφέρει δὲ ταῦτα κατὰ τοὺς ἀρότους ἑκάστων· πρωϊαίτατον γὰρ
5. ἐν τοῖς εὐείλοις καὶ εὐκρᾶσιν. ὡς γὰρ ἁπλῶς εἰπεῖν ἐν πλείοσι δεῖ τὰς αἰτίας ὑπολαβεῖν τῶν τοιούτων, ἔν τε τοῖς σπέρμασιν αὐτοῖς καὶ ἐν τῇ χώρᾳ καὶ τῷ ἀέρι καὶ ταῖς ὥραις αἷς ἕκαστα σπείρουσι καὶ χειμώνων καὶ εὐδιῶν. ἀλλὰ τοῦτο μὲν σκεπτέον ἐφ' ὧν τε παραλλάττουσιν οἱ χρόνοι καὶ ἐφ' ὧν οὔ· καὶ γὰρ τὴν ῥαφανίδα φασί τινες τριταίαν καὶ θέρους καὶ χειμῶνος, τὸ δὲ τεύτλιον ὥσπερ εἴρηται παραλλάττει κατὰ τὰς ὥρας. χρόνοι δ' οὖν οὗτοι τῆς βλαστή-
6. σεώς εἰσι καὶ λέγονται καθ' ἕκαστον. διαφέρει δὲ πρὸς τὸ θᾶττον καὶ βραδύτερον καὶ ἡ τῶν σπερμάτων παλαιότης. τὰ μὲν γὰρ ἀπὸ νέων παραγίνεται θᾶττον οἷον πράσον γήθυον σίκυος κολοκύντη· ἔνιοι δὲ καὶ προβρέχουσι τὸν σίκυον πρὸς τὸ θᾶττον ἢ ἐν γάλακτι ἢ ἐν ὕδατι. τὰ δ' ἀπὸ παλαιῶν οἷον σέλινον τεύτλιον κάρδαμον θύμβρα κορίαννον ὀρίγανον· εἴπερ μὴ φυτεύεται αὐτὰ ἀπὸ τοῦ νέου καθάπερ εἴπομεν. ἴδιον δέ φασιν ἐπὶ τοῦ τευτλίου συμβαίνειν· οὐ γὰρ διαφύεσθαι πᾶν εὐθὺς ἀλλ' ὕστερον πολλῷ, τὸ δὲ καὶ τῷ ἐχομένῳ ἔτει
7. καὶ τῷ τρίτῳ, διὸ καὶ ἐκ πολλοῦ σπέρματος ὀλίγον βλαστάνειν. ἕκαστον δὲ

4. *πλείους ὥρας*] Vo. H. St. Sch.; *π. χώρας* UM Ald.; *quae locis pluribus seri patiuntur* G.

τὰ πολλά] Vo. Sch.; *γε πολλὰ* Ald. Edd. Sed dubito de emendatione. Etenim simplex *γίνεται* haud aptum esse videtur, neque *τὰ πολλὰ* bene habet, quamobrem aut *θᾶττόν γε παραγίνεται* aut *θᾶττον τέλεια γίνεται* fuisse suspicor.

γίνεται] corr. Sch.; *proveniunt* G.; *γίνεσθαι* Ald. Edd.

εἰῶν δὲ — βραδύτερον] UM; H. nihil mutavit praeter *περισκεπῆ*; St. *μοχθηρᾷ καὶ ψυχρᾷ γῇ καὶ ἐν τόπῳ περισκεπῆ βρ.*; Sch. *ἐὰν — ψυχρὰ καὶ ὁ ἀὴρ περισκεπὴς* [*πρὸς τὸ*] *βραδύτερον.*

ἑκάστων] mBas. St. Sch.; *ἕκαστον* Ald. H.

ἀρότους] Ald. Edd.; *ἀρότρους* UM.

πρωϊαίτατον] Sch.; *προϊαίτατον* Ald. Edd.

εὐείλοις] corr. Sch.; *εὐήλοις* Ald. Edd.

εὐκρᾶσιν] Sch.syll.; *εὔκρασιν* U; *εὔκρασιν* Ald. M; *εὐκράτοις* H. St. Cf. Lobeck Paralip. p. 222 et 264.

5. *τριταίαν*] *εἶναι* i. u. addit St.

τεύτλιον] U St. Sch.; *τελινταῖον* Ald. H. G.

χρόνοι] *χρόνιοι* U.

καθ' ἕκαστον] *τῶν καθ' ἕκαστον* conj. Sch.

6. *διαφέρει δὲ*] corr. Scalig. St. Sch.; *δ. γὰρ* Ald. H.

πράσον] U St. Sch.; *πράσσον* Ald. H.; *οἷον* om. M_1; *οἷον πράσσον* M_2.

τὸν σίκυον] *τὸν μὲν σίκ.* Sch. qui tamen *μὲν* quod prorsus inutile deletum voluit; *τὸ μ. σ.* Ald. Edd.; *τὸ μὲν σίκυος* M; *τὸ σίκυον* P_2.

κορίαννον] U Bas Sch.; *κορίανον* Ald. H. St.

εἴπερ — εἴπομεν] dedi de conj.; *εἴπερ μὴ οὐ τὸ ἀπὸ* etc. UM Ald.; *εἰπ. μὴ φ. ἅπαντα φυτεύεται ἀπὸ τοῦ νέου* H. St. et Schn., qui tamen *ἅπαντα* deletum voluit. G.: *haud enim omnia oriri melius e recentiori possunt, quemadmodum diximus.* Sensus est: si quidem ea non e novo semine educantur eo modo quo diximus i. e. madefacta.

πολλῷ — ἐχομένῳ] sic corr. Sch. in Syll. ex U, ubi *π. τῷ δὲ καὶ τῷ ἐχομένῳ*; *π. τῷδε καὶ τῷ ἐρχομένῳ* P_2; *π. τῷ ἐρχομένῳ* P; *πολλῷ τῷ δεχομένῳ* Ald. H.; *πολλὰ γὰρ τῷ δεχ.* St.; *πολλῷ, τῷ τ' ἐχομένῳ* fecerat Schn. Plinium secutus.

τῶν σπερμάτων ἐὰν ἀδρυνθέντα ἀποπέσῃ διαμένει πρὸς τὴν ὥραν τὴν ἑαυτοῦ καὶ οὐ πρότερον ἐκβλαστάνει· καὶ κατὰ λόγον ἐστί· καὶ γὰρ ἐπὶ τῶν ἀγρίων ὁρῶμεν συμβαῖνον ἐὰν μὴ φθαρῇ. αἱ δὲ τελειώσεις τῶν καρπῶν ἁπάντων γίνονται τοῦ θέρους, πρότερον δὲ καὶ θᾶττον ὡς ἁπλῶς εἰπεῖν τῶν πρότερον σπαρέντων. διαφέρει δὲ καὶ ἡ ὥρα· τὰ γὰρ ἐν ταῖς θερμημερίαις σπαρέντα θᾶττον ἐκκαυλεῖ καὶ ἐκσπερματοῦται καθάπερ ῥαφανὶς γογγυλίς. ἔνια δὲ οὐκ ἐνιαύσια φέρει τὸν καρπὸν ἀλλὰ δίενα καθάπερ σέλινον πράσον γήθυον, ἃ καὶ διαμένει χρόνον πλείονα καὶ οὐκ ἔστιν ἐπέτεια· τὰ γὰρ πολλὰ τούτων ἅμα τῇ τελειώσει τῶν σπερμάτων αὐαίνεται. πάντα δὲ ὡς εἰπεῖν ὅσα ἐκκαυλεῖ καὶ 8.
τελειοῖ τὸν καρπὸν ἀποτελειοῦται κατὰ τὸ σχῆμα τῷ παραβλαστήσει ἐκ τῶν καυλῶν ἔχειν ἀκρεμονικάς, πλὴν ὅσα μονόκαυλα καθάπερ πράσον καὶ γήθυον καὶ κρόμυον καὶ σκόροδον. φίλυδρα δὲ καὶ φιλόκοπρα πάντα, μᾶλλον δὲ τὰ 2St.
ἀσθενέστερα καὶ πλείονος ἐπιμελείας δεόμενα, τὰ δὲ καὶ τροφῆς.

Cap. II. Φύεται δὲ πάντα ἀπὸ τοῦ σπέρματος, ἔνια δὲ καὶ ἀπὸ παρασπάδος 2H.
καὶ κλωνὸς καὶ ῥίζης. ἀπὸ μὲν παρασπάδος ἡ ῥάφανος· δεῖ γάρ τι καὶ ριζῶδες προσλαβεῖν. ἀπὸ δὲ τῶν βλαστῶν πήγανον ὀρίγανος ὄχιμον· ἀποφυτεύουσι γὰρ καὶ τοῦτο ὅταν σπιθαμιαῖον ἢ μεῖζον γένηται τεμόντες εἰς τὸ ἥμισυ. ἀπὸ ῥίζης δὲ σκόροδον καὶ κρόμυον καὶ βολβὸς καὶ ἄρον καὶ ἁπλῶς τὰ τοιαῦτα τῶν κεφαλορρίζων. φύεται δὲ καὶ εἴ τινων αἱ ῥίζαι διαμένουσιν ἐπὶ πλείονα χρόνον ἐπετειοκαύλων ὄντων. ὅτι δὲ ἀπὸ σπέρματος πάντα βλαστάνει φανερόν· καὶ γὰρ τὸ πήγανον ὅπερ οὔ φασί τινες, ἀλλὰ βραδέως δι' ὃ καὶ ἀποφυτεύουσιν. ὅσα δὲ ἀπὸ ῥίζης φύεται τούτων ἡ μὲν ῥίζα χρόνιος αὐτὰ δὲ ἐπετειό- 2.
καυλα, δι' ὃ καὶ παραβλαστάνουσιν αἱ ῥίζαι τῶν τοιούτων καὶ γίνονται πλείους οὐ μόνον ἐν τοῖς ἡμέροις καὶ κηπευομένοις ἀλλὰ καὶ ἐν τοῖς ἀγρίοις ὥσπερ εἴπομεν οἷον βολβοῖς γηθύοις σκίλλαις καὶ τοῖς ἄλλοις. παραβλαστάνει δ' ἔνια

7. ἀδρυνθέντα] P, cum Scal. Sch.; ἀνδρυνθέντα M Ald. H.; ἀδρυν. St.
ὁρῶμεν] οὕτω i. u. addidit Sch.
ὡς ἁπλῶς] ὡς δ' ἁπλῶς St.
τῶν πρότερον σπαρέντων] mBas. Sch.; πρότερον τῶν σπαρ. Ald. H.; πρότερον τῶν πρότερον σπαρέντων St.
διαφέρει δὲ] dedi e conj.; δ. γὰρ Ald. H.; γὰρ om. St., seclusit Sch.
ἐκκαυλεῖ] Sch.; ἐγκαυλεῖ U; ἐνκαυλεῖ M; ἐκκαυλοῖ Ald. H. St.
δὲ οὐκ ἐν] UM Sch.; δὲ καὶ οὐκ Ald. Edd.; δὲ καὶ ἐνιαυσ. P.
δίενα] διένα M.
πράσον] πράσιον Ald. H. St.
ἐκκαυλεῖ] UM Sch.; ἐκκαυλοῖ Ald. Edd.
8. κατὰ τὸ σχ.] κατὰ ταὐτὸ σχῆμα scribendum esse videtur; nisi τοῦ mavis.
ἀκρεμονικάς] corr. Sch.syll.; ἀκρεμονικοὺς Ald. Edd. o.
πράσον] πράσιον Ald. H.
πάντα] τὰ λαχανώδη i. u. addit St.

Cap. II.

φύεται] οὐ φύεται P$_2$.
ἀπὸ τοῦ σπ.] τοῦ om. P$_2$.
ἀπὸ μὲν] καὶ ἀπὸ μὲν P$_2$.
παρασπάδος] παρασπαράδος P.
δεῖ γάρ τι] UP$_2$ St. Sch.; ἀεὶ γάρ τι Ald. H. Gaza. Schn. mavult γὰρ in δὲ mutatum.
προσλαβεῖν] προλαβεῖν U.
ὀρίγανος] Ald. Edd.; ὀρίγανον M P$_2$.
καὶ βολβὸς] om. P$_2$; καὶ βολβοὶ St.
ἄρον] U? P$_2$ H. Sch.; ἄρρον M Ald.; arrus G. Verba καὶ ἄρον om. Bod. et St.
πάντα βλ.] παντάνει βλ. M.
2. γηθύοις] om. Bod. et St.; abesse mavult Schn., cum γήθυον ad cultas hortenses pertineat.
σκίλλαις] Sch.; σκιλλαις Ald. Edd.

καὶ τῶν μὴ κεφαλορρίζων χρονιωτέρων δὲ οἷον σέλινον καὶ τεύτλιον· ἀφιᾶσι γὰρ ῥίζας ἀφ' ὧν φύονται φύλλα καὶ καυλοί. παραβλαστάνει δὲ καὶ γήθυον καὶ πράσον καὶ παραφύει κάτωθεν οἷον βολβώδη τινὰ κεφαλήν, ἐξ ἧς ἡ βλάστησις γίνεται τῶν φύλλων, αὐανθέντος δὲ τοῦ καυλοῦ καὶ τοῦ σπέρματος ἀφαιρεθέντος· ἀλλὰ διὰ τὸ μὴ χρησίμας εἶναι τὰς τούτων κεφαλὰς οὐ συλλέ-
3. γουσιν εἰς ξηρασίαν, δι' ὃ καὶ οὐ φυτεύουσι. τάχα δὲ ταῦτα καὶ ὁμογενῆ καὶ σύνεγγύς πως τῇ τοῦ κρομύου φύσει, δι' ὃ καὶ οὐ θαυμαστόν. ἀλλ' ὁμοίως καὶ ἐπὶ πάντων καὶ ἡμέρων καὶ ἀγρίων, ὅσα χρονιώτερα μέν ἐστιν ἐπετειόκαυλα δὲ, τούτων καὶ αἱ ῥίζαι ἐπιβλαστάνουσιν ὥςπερ καὶ ἐπὶ τῶν φρυγανικῶν καὶ τῶν θαμνωδῶν· ἀλλ' ἐπὶ τῶν κρομύων καὶ σκορόδων καὶ βολβῶν καὶ ὥςπερ ἀριθμός τις γίνεται τούτων. ἡ δὴ γένεσις ὥςπερ εἴρηται τριχῶς ἐστιν, ἀπὸ
4. σπέρματος μὲν πάντων ἀπὸ δὲ καυλοῦ καὶ ῥίζης τῶν εἰρημένων. τῶν δὲ καυλῶν κολουσθέντων πάντα μὲν ὡς εἰπεῖν βλαστάνει πλὴν τῶν ἀποκαύλων, ἐμφανέστατα δ' ὥςπερ καὶ εἰς χρείαν ὤκιμον θρίδαξ ῥάφανος. καὶ τῆς μὲν θρίδακος ἡδίους φασὶ τοὺς παλιμβλαστεῖς εἶναι καυλούς· τὸν γὰρ πρῶτον ὀπώδη καὶ πικρὸν εἶναι ὡς ἄπεπτον· οἱ δὲ τὸ ἐναντίον ὀπωδεστέρους τούτους ἀλλ' ἕως ἂν ὦσιν ἁπαλοὶ φαίνεσθαι γλυκυτέρους. ἀλλ' ἐπὶ τῆς ῥαφάνου τοῦτο ὁμολογούμενον ὡς εἰ πάλιν βλαστήσειεν ἡδίων ἀφαιρεθέντων γε τῶν φύλλων πρὸ
5 38 St. τοῦ διακαυλίσαι. διαμένουσι δὲ αἱ ῥίζαι πλειόνων ἀλλ' αἱ μὲν βλαστάνουσι

φύονται φ.] Ald. Edd.; *φύεται* UM.

πράσον] St. Sch.; *πράσιον* Ald. H.

καὶ παραφύει] G.: *Gethyum quoque latere germinat et porrum subtus suo latere promit veluti quoddam caput bulbaceum.*

δὲ τοῦ κ.] *δὲ* seclusit Sch. G.: *ex quo foliorum ortus caule tamen arefacto semineque sublato.*

ἀλλὰ διὰ τὸ μὴ χρ. — φυτεύουσι] sic H. et St., uterque vero *συλλέγουσι μὲν εἰς*, hic *διὸ δὲ οὐ φ.* habent. *ἀλλὰ μὴ διὰ τὸ χρ. — συλλέγουσι μὲν εἰς* — UM Ald. De scriptura codicum UM non satis constat. G.: *Sed quoniam eorum capita minus usui sint idcirco siccanda minime leguntur et proinde nunquam seruntur. ἀφαιρεθέντος διὰ τὸ μὴ χρησίμας εἶναι τὰς τούτων κεφαλάς· διὸ καὶ συλλέγουσι μὲν εἰς ξηρασίαν, ἀλλ' οὐ φυτεύουσι* Sch. cont. In Syll. jubet ab initio *ἀλλὰ διὰ τὸ* scribere, dein *διὸ καὶ* uncis secludere. Equidem verba *μὴ διὰ τὸ* transponere, quod cum Scaligero omnes fecerunt, dein omittere *μὲν* satis habui: ceterum librorum scripturam intactam servavi, quamvis eam veram praestare nolim.

3. *ὁμογενῆ*] Ald. Edd.; *ὁμοιογενῆ* M; *similia genere* G.

ἀλλ' ὁμοίως — ἐπετειόκαυλα] corr. Sch.; *ἀλλ' ὅμως — ἐπιγειότερα* P Ald. H. St.; *ἀλλ' ὅμως* adnotatum etiam ex UM.; Gaza: *verumtamen — terrae propiora*; *ἀλλ' ὅμως δὲ* dedit St.! *καὶ* post *ὁμοίως* ejiciendum esse censeo.

καὶ αἱ ῥ.] UMP Sch.; *καὶ* om. Ald. Edd.

ἡ δὴ γεν.] corr. Sch.; *ἡ δὲ γ.* Ald. Edd.

4. *πάντα*] St. Sch.; *πάντων* Ald. H.

ἀποκαύλων] UMP Ald. Sch.; *λειοκαύλων* (e Plinii verbis *quae non scabrum caulem habent*) H. St.; *μονοκαύλων* conj. Dalec.; *ἐπετειοκαύλων* Link.

ἡδίους] Vo. mBas. H. St. Sch.; sic quoque G. Plin. Athenae. 2 p. 69; *ἰδίους* U Ald.

παλιμβλαστεῖς] Sch.syll.; *παλινβλαστεῖς* U; *παλαιβλαστεῖς* Athenae. l. l. unde *παλιβλαστεῖς* Sch. cont.; *παλιβλάστους* Ald. Edd.

ἄπεπτον] H. St. Sch.; *ὕπεπτον* Ald.; *minus concoctos* G.

βλαστήσειεν] corr. Sch.; *βλαστήσει* Ald. Edd. Illud certo dictioni Theophrasti convenientius, etsi hoc non damnandum est. — Dein *γε* corr. Sch.; *τε* Ald. Edd.

πάλιν αἱ δὲ οὔ. ῥαφανὶς γοῦν καὶ γογγυλὶς διαμένουσι γῆς ἐπιβληθείσης ἄχρι θέρους καὶ αὔξησιν λαμβάνουσιν, ὅπερ ποιοῦσί τινες ἐξεπίτηδες τῶν κηπουρῶν· οὐ βλαστάνουσι δὲ οὐδ' ἀφιᾶσι φύλλον οὐδ' εἴ τις ἀφέλοι τὴν ἐπισεσαγμένην γῆν. ἰδεῖν δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἐστί. τὰ δὲ πλεῖστα τῶν λαχάνων μονόρριζα τῇ παχείᾳ κατὰ βάθους ῥίζῃ· καὶ γὰρ ὅσα παραφύει τὰς ἰσοπαχεῖς ταύτας ὥσπερ σέλινον καὶ τεύτλιον ἀπὸ τῆς μέσης πως ἡ παράφυσίς ἐστι καὶ οὐκ εὐθὺς ἀπὸ τῆς ἀρχῆς ἡ σχίσις· ἐκ δὲ ταύτης τῆς μιᾶς ἀπήρτηνται αἱ ἀποφυάδες αἱ μικραὶ καὶ τῆς ῥαφανίδος καὶ τῆς γογγυλίδος. καὶ αὗται μὲν δὴ πᾶσι φανεραὶ διὰ τὴν χρείαν. ἡ δὲ τοῦ τευτλίου μία μὲν μακρὰ καὶ παχεῖα 6.
καὶ ὀρθὴ καθάπερ ἡ τῶν ῥαφανίδων ἀποφύσεις δὲ ἔχει παχείας ὁτὲ μὲν δύο ὁτὲ δὲ καὶ τρεῖς ὁτὲ δὲ καὶ μίαν, τὰς δὲ μικρὰς ἐκ τούτων. σαρκώδης δὲ ἡ ῥίζα καὶ τῇ γεύσει γλυκεῖα καὶ ἡδεῖα διὸ ὃ καὶ ὠμὴν ἐσθίουσί τινες· ὁ δὲ φλοιὸς οὐ παχὺς οὐδὲ ἀφαιρετὸς ὥσπερ ὅ τῶν ῥαφανίδων ἀλλὰ μᾶλλον οἷος ὁ τῶν ἱπποσελίνων. ὡσαύτως δὲ καὶ ἡ τῆς ἀδραφάξυος μία μὲν εἰς βάθος ἐκ ταύτης δὲ ἄλλαι. μονορριζότατον δὲ τούτων πάντων τὸ λάπαθον· οὐ γὰρ ἔχει 7.
παχείας ἀποφύσεις ἀλλά τινας λεπτάς· βαθυρριζότατον δὲ πάντων, ἔχει γὰρ μείζω τριῶν ἡμιποδίων· τὸ δ' ἄγριον βραχυτέραν, πολύκαυλον δὲ καὶ πολύκλαδον καὶ ἡ ὅλη μορφὴ τελειωθεῖσα παραπλησία τῇ τοῦ τευτλίου· πολυχρονιώτερον δὲ καὶ τοῦ ἀγρίου καὶ ὅλως δὲ πάντων τῶν λαχάνων ὡς εἰπεῖν· δια-

5. *ῥαφανὶς*] *ῥαφὰν* Pz.

γοῦν] U; *οὖν* Ald. Edd.; *γ'οὖν* Sch. syll.

κηπουρῶν] UMP; *κηπωρῶν* Ald. Edd.

οὐδ' εἴ τις] Ald. H.; e versione G. *nisi accumulatum humum semoveas εἰ μή τις* auctore Scaligero dedere St. Sch.

τῶν ἄλλων] *τινων ἄλλων* scribendum esse videtur.

ἐκ δὲ ταύτης — αἱ μικραὶ] dedi de conj. *εἰς δὲ ταύτην τὴν μίαν ἡ ἀπ' αὐτῆς τε καὶ τῆς ἀποφυάδος καὶ μικρὰ* Ald. H. Sch.; *τε* om. M; *εἰς δὲ ταύτην τὴν μίαν αἱ ἀπ' αὐτῆς ἀποφυάδες μικραὶ* St.; Scalig.: *Sed ad unicam illam pertinet ea quae ab ipsa exit parva in raphano et rapa,* quem valde laudat Sch. Equidem quid ea velint non assequor. G.: *Nec a principio continuo findunt: sed ad ipsam unicam stirpem fissionem ejusdem illius lateralisque agunt.* Desidero verbum in scriptura librorum, quam corruptam esse manifestum est. Theophrastus, ubi dixit plurima olera habere radicem unam crassiorem in profundum tendentem, eas quoque sic habere addit, quae plures radices habent: etenim ubi adsint plures crassiores, eas e media exire quae superne indivisa sit, ut in selino et teutlio; atque in raphanide et rapa parvas radiculas multas ex eadem illa intermedia majore oriri. Ad hunc sensum locum corrigere conatus sum, comparatis etiam quae mox sequuntur *τὰς δὲ μικρὰς ἐκ τούτων.*

πᾶσι] corr. Sch.; *φασι* Ald. Edd.

6. *τῶν ῥαφανίδων*] *τῆς — ἰδος* St.

ὁτὲ δὲ καὶ μίαν] *ὁτὲ* om. Cam.

τὰς δὲ μικρὰς ἐκ τούτων] UMP Schn.; sic etiam Ald., sed operarum culpa syllaba *-κρὰς*, quae ab initio versus stare debet omissa est, dat igitur *τὰς δὲ μι ἐκ τούτων*, unde *τὰς δὲ μὴ ἐκ τ.* Cam.; *ταῖς δὲ * μι ἐκ τ.* Bas. Dalecamp. conj. *ταύταις δὲ λεπταὶ ἶνες γεννώμεναι προσφύονται καὶ προσαρτῶνται*, quae sic corrupta exhibuit H. *ταῖς δὲ λεπταὶ ἶνες γεννύμεραι προσφ. κ. πρ.*; inde St.; *ταῖς δὲ λεπταὶ ἶ. γενόμεναι.*

καὶ τῇ γεύσει γλυκεῖα] om. St.

ἀφαιρετὸς] *ἀφαίρετος* Ald.

οἷος] corr. Sch.; *οἷον* Ald. Edd.; dein *ἱπποσελίνων* M Ald.

ἀδραφάξυος] *ἀνδραφάξυος* Ald. H. Sch.; *ἀνδραφάξεως* UMP; *ἀτραφάξυος* St.

7. *παχείας*] *τᾶς παχείας* Sch.

τινας λεπτάς] sic correxi; *τὰς λεπτὰς* Ald. Edd.; *ἀποφύσεις* om St.

πάντων· ἔχει γὰρ] *π. ἐστὶ· καὶ γὰρ* St.; *π. ἔχει δὲ γὰρ* M.

τοῦ ἀγρίου] *ἡ τοῦ ἀγρίου* [*λαπάθου ῥίζα*] St.

μένει γὰρ ὁποσονοῦν χρόνον ὡς φασιν. ἔχει δὲ σαρκώδη τὴν ῥίζαν καὶ ἔνικμον δι' ὃ καὶ ἐξαιρεθεῖσα ζῇ πολὺν χρόνον. τὸ δ' ὤκιμον μίαν μὲν τὴν παχεῖαν τὴν κατὰ βάθους τὰς δ' ἄλλας τὰς ἐκ πλαγίου λεπτὰς ἐπιεικῶς εὐμήκεις. ἔνια δ' οὐκ ἔχει τὴν μίαν τὴν ὀρθὴν οἷον τὸ βλίτον ἀλλ' εὐθὺ πολλὰς ἐξ ἄκρου καὶ
8. 3 H. εὐπαχεῖς καὶ μακροτέρας τῆς ἀδραφάξυος. τῶν δὲ ῥιζῶν ξυλωδέσταται πασῶν αἱ τοῦ ὠκίμου καθάπερ καὶ ὁ καυλός. ἡ γὰρ τοῦ βλίτου καὶ τῆς ἀδραφάξυος καὶ τῶν τοιούτων ἧττον ξυλώδης. εἰσὶ γὰρ ὡς ἁπλῶς εἰπεῖν πασῶν αἱ μὲν σαρκώδεις αἱ δὲ ξυλώδεις. σαρκώδεις οἷον ἡ τοῦ τευτλίου καὶ τοῦ σελίνου καὶ ἱπποσελίνου καὶ λαπάθου καὶ ῥαφανίδος καὶ γογγυλίδος καὶ πάντων μάλιστα τῶν κεφαλοβαρῶν· οὐδὲ γὰρ ἀναξηραινόμεναι σκληρύνονται τελείως. ξυλώδεις δὲ ὥσπερ αἱ τοῦ ὠκίμου καὶ βλίτου καὶ ἀδραφάξυος καὶ εὐζώμου καὶ ἀνήθου καὶ κοριάννου καὶ ἁπλῶς τῶν νευροκαύλων· ἔχει γὰρ δὴ καὶ τὸ ἄνηθον καὶ τὸ κορίαννον ὄντα μονόρριζα ξυλώδη τε τὴν ῥίζαν καὶ οὐ μακρὰν οὐδὲ τὰς λεπτὰς ἀποφυάδας ἔχουσαν πολλάς· πολύκαυλα δὲ ἄμφω καὶ πολύοζα, δι' ὃ
9. καὶ οὐ κατὰ λόγον οὐδενὶ τούτων τὸ ἄνω πρὸς τὸ κάτω. βραχόρριζα δὲ ταῦτά ἐστιν οἷον θρίδαξ ἀνδράχνη, τῇ ὀρθῇ καὶ ταῖς εἰς τὰ πλάγια. ἡ δὲ θρίδαξ, ὥσπερ οὐκ ἔχει τὰς τοιαύτας ἀποφύσεις ἀλλὰ μόνον τὰς λεπτάς, καὶ μάλιστα δὴ μονόρριζον ὡς εἰπεῖν. ἁπλῶς δὴ πάντα τὰ θερινὰ βραχόρριζα· καὶ γὰρ ὁ σίκυος καὶ ἡ κολοκύντη καὶ ἡ σικύα καὶ διὰ τὴν ὥραν καὶ ἴσως ἔτι μᾶλλον διὰ τὴν φύσιν ἥπερ συνηκολούθηκε τῇ ὥρᾳ. ἡ δὲ μεταφυτευομένη θρίδαξ βραχυτέραν ἔχει τὴν ῥίζαν τῆς σπαρείσης· παραβλαστάνει γὰρ ἐκ τῶν πλαγίων μᾶλ-

διαμένει etc.] *καὶ γὰρ διαμένει ὁποσονοῦν χρ.* St.

σαρκώδη τὴν ῥίζαν] corr. Sch.; *σαρκώδη την σάρκα* Ald. Edd.; *carne plena atque humecta consistit* G.

βλίτον] St. Sch. G.; *βλίτιον* Ald. H.

εὐθὺ] UM; *εὐθὺς* P Ald. Edd.

μακροτέρας etc.] *μακρότεραι* St.

ἀδραφάξυος] *ἀνδραφάξυος* Ald. H. Sch.; *ἀτραφάξυος* St.

8, *ξυλωδέσταται*] *-έστατον* M.

ἡ γὰρ] *ὁ γὰρ* UM.

ξυλώδης] *ξυλώδεις* M.

πασῶν αἱ μὲν] sic correxi; *παρ' ὧν αἱ μὲν* UMP; *παρ' ὧν μὲν* Ald. H. St.; *αἱ μὲν* Sch. omissis *παρ' ὧν*.

σαρκώδεις οἷον] Vocem *σαρκώδεις* cum Schneidero sententia flagitante inserui; om. Ald. H. Schneider dedit cum Vo.: *καὶ σαρκώδεις μὲν*, St. *ξυλώδεις οἷον ἡ τοῦ σελίνου* ceteris omissis.

ἀναξηραινόμεναι] Sch.; *-μενα* M Ald. Edd. — *καὶ* addunt UM.

βλίτου] *βλήτου* Ald. — *ξυλώδεις δ' εἰσὶ ὥσπερ αἱ τοῦ ὠκίμου καὶ αἱ τοῦ βλίτου καὶ ἀτραφάξυος — λαπάθου καὶ ῥαφάνου καὶ ἁπλῶς τῶν νευροκαύλων, ἔτι δὲ τοῦ κοριάννου τὰ δὲ μονορ.* St.

ἀνήθου καὶ κορ.] *ἀνήθου καὶ λαπάθου καὶ κορ.* Ald. H. St. Verba *καὶ λαπάθου* seclusit Sch., ego omisi, cum aperte huic loco non pertineant.

τῶν νευροκαύλων] U St. Sch.syll.; *τῶν ῥοκαύλων* M Ald.; *τῶν πολυκαύλων* mBas. Sch.; *τῶν ὁμοκαύλων* H.

τὸ ἄνηθον] U Sch.syll.; *τὸ* om. Ald. Edd.

ἀποφυάδας] e corr. Scal. H. St. Sch.; *ἀποφυλλάδας* Ald. — *ξυλώδη δὲ* M.

πολλάς] Ald. H. Sch.; *πολλὰ* UM; *πολλάκις* St. qui deinceps *νευρόκαυλα δὲ ἅμα καὶ* etc.

τὸ ἄνω] *τὸ* om. cum Cam. H.

9. *ταῦτα*] conj. Sch.; *τὰ τοιαῦτα* Ald. H. St.; *τοιαῦτα* UM.

θρίδαξ] Schneid. ter *θριδακίνη* edidit — Dein *τὰς* om. St.

εἰς τὰ πλάγια] Cam. H. St. Sch.; *εἰ* cum lacuna UM Ald.; *tum iis quae in latus porrigi solent* G.

μονόρριζον] *μονορίζων* U.

ἁπλῶς δὴ] UP; *ἁ. δὲ* Ald. Edd. o.

πλαγίων μᾶλλον] *γὰρ* interserit U.

λον· βραχυτέραν δὲ καὶ ἡ ἀγρία τῆς ἡμέρου, καὶ ἐκ τῶν ἄνωθεν πολυκαυλοτέρα.

Cap. III. Ἀνθεῖ δὲ τῶν μὲν ἄλλων ἕκαστον ἀθρόον, τὸ δὲ ὄκιμον κατὰ μέρος τὰ κάτω πρῶτον εἶτ' ὅταν ταῦτα ἀπανθήσῃ τὰ ἄνω, δι' ὃ καὶ πολυχρόνιον ἐν τῷ ἀνθεῖν καθάπερ κύαμος καὶ τῆς πόας τὸ ἡλιοτρόπιον καλούμενον καὶ ἄλλα δὲ τῶν ἀγρίων. ἀνθεῖ δὲ καὶ ὁ σίκυος πολὺν χρόνον· καὶ γὰρ ἐπιβλαστάνειν τούτῳ γε συμβαίνει. τὰ δὲ ἄνθη τῶν μὲν ἕκλευκα, τῶν δὲ μηλινοειδῆ τῶν δὲ μικρὸν ἐπιπορφυρίζοντα εὔχρουν δ' οὐθέν. τὰ δὲ σπέρματα διαφέρει καὶ τοῖς σχήμασι· τὰ μὲν γὰρ πλεῖστα στρογγύλα τὰ δὲ προμήκη τὰ δ' αὖ πλατέα καὶ φυλλώδη καθάπερ τὰ τῆς ἀδραφάξυος· ὅμοιον γὰρ τῷ τοῦ σιλφίου· τὰ δὲ στενὰ καὶ γραμμώδη καθάπερ τοῦ κυμίνου. καὶ τοῖς χρώμασιν ὁμοίως τὰ μὲν μέλανα τὰ δὲ ξυλώδη τὰ δὲ λευκότερα. πάντα δὴ ἐλλοβοσπέρματα ἢ γυμνοσπέρματα ἢ ἐμφλοιοσπέρματα ἢ παπποσπέρματα· ῥαφανὶς μὲν γὰρ καὶ νάπυ καὶ γογγυλὶς ἐλλοβοσπέρματα, κορίαννον δὲ καὶ μάραθον καὶ ἄνηθον καὶ κύμινον γυμνοσπέρματα, βλίτον δὲ καὶ τεύτλιον καὶ ἀδράφαξυς καὶ ὄκιμον ἐμφλοιοσπέρματα, θριδακίνη δὲ παπποσπέρματον. πάντα δὲ πολύκαρπα καὶ πολυβλαστῆ, πολυκαρπότατον δὲ τὸ κύμινον. ἴδιον δὲ καὶ ὃ λέγουσι κατὰ τούτου· φασὶ γὰρ δεῖν καταρᾶσθαί τε καὶ βλασφημεῖν σπείροντας εἰ μέλλει καλὸν ἔσεσθαι καὶ πολύ. δυσξήραντα δὲ πάντα μὲν ὡς εἰπεῖν πλὴν τοῦ κυμίνου, οὐχ

βραχυτέραν δὲ] corr. Sch.; *βραχυτέρα δὲ* Ald. Edd.

ἄνωθεν πολυκαυλότερα] sic dedi cum Schneidero, etsi non sine dubitatione; *ἄνω· τὰ δὲ πολ.* Ald.; *ἡμέρου καὶ βλαστάνει ἐκ τῶν ἄνω· ἔστι δὲ πολυκαυλοτέρα* St.

Cap. III.

τῶν μὲν ἀ.] *τὸ μὲν ἀ.* U; *τῶν λαχάνων* St. qui pergit: *ἕκαστον τὸ μὲν ἄθροον τὸ δὲ κατὰ μέρος· τὰ κάτω πρ.*

μέρος, τὰ κάτω] U Sch.syll.; *μέρος κάτω* Ald. H. Sch.cont.

πολυχρόνιον] *πολυχρόνια ἐ. τ. ἀ. ταῦτα* St.

ἀνθεῖ δὲ καὶ] Ald. H.; *ἀνθεῖ δὲ ὁμοίως καὶ* St. Sch. *Floret etiam cucumer eum in modum, qui pepo cognominatus est* G.

σίκυος πολὺν χρόνον] sic scripsi e conjectura; *σίκυος καλούμενος* Ald. Edd. o. Vox *καλούμενος* merito suspecta fuit Schneidero, equidem in illa quaerendum esse duxi quod ad sententiam absolvendam desideratur, a St. Sch. voce *ὁμοίως* non satis apta suppletum.

ἄνθη τῶν μὲν] *ἀ. τούτων μὲν* Sch.cont. — Dein *τῶν δὲ μηλινοειδῆ* om. St.

εὔχρουν δ' οὐθέν] UM Ald. Sch.; *εὐ. δ' οὐδὲν* Ald. H. St.; *rubur nullis emergunt* G., qui *ἐρυθρὸν δ' οὐθέν* habuisse videtur; *τῶν δ' ἐρυθρά* conj. Scalig. Bod.

2. *στρογγύλα*] *στρογγῦλα* Ald.

τὰ τῆς ἀδρ.] *τὸ τῆς ἀτρ.* St.

καθάπερ τοῦ κ.] Ald. H.; *κ. τά τοῦ κ.* St. Sch.

ξυλώδη] Ald. H. Sch.; *ἐρυθρώδη* auctore Dalec. dedit St.; *μέλανα, τὰ δὲ λευκότερα· τὰ δὲ ξυλώδη* conj. Bod.

πάντα δή] UM; *π. δὲ* Ald. Edd. o.

ἐλλοβοσπέρματα] H. St. Sch.; *ἐλεβοσπ.* M Ald.; *ἐλλεποσπ.* mBas.

ἐμφλοιοσπέρματα] Ald. Edd. o.; *ὥσπερ φλοιοσπέρματα* UM.

ἐλλοβοσπέρματα] H. St. Sch.; *ἐλεβοσπ.* UMP$_2$ Ald.

κορίαννον] Ald. Edd.; *κορίαυνον* P.

μάραθον] U Sch.syll.; *μάραθρον* Ald. Edd. o.

καὶ ἄνηθον] U Ald. H. Sch.; om. St.

ἀδράφαξυς] *ἀνδραφάξυς* P$_2$ Ald. H. Sch., *ἀτραφάξυς* St.

ἐμφλοιοσπέρματα] Post hanc vocem brevem lacunam ab initio versus habet Ald., in medio Cam., sed nihil deesse videtur.

3. *πολυκαρπότατον*] M Sch.; *foecundissimum* G.; *-πότερον* Ald. Edd.

μέλλει] Sch.; *μέλει* Ald. Edd.

δυσξήραντα] *δυσξαίραντα* P, idemque mox *δυσξαιραντότερα*.

ὡς ὁ σῖτος ὃς κἂν ἅπαξ ἀδρυνθῇ ταχὺ ξηραίνεται καὶ ἀποπίπτει· δυσξηραντότερα δὲ τὰ ἐμφλοιοσπέρματα καὶ τούτων μάλιστα τὸ ὤκιμον. ἅπαντα δὲ ξηρανθέντα πολυκαρπότερα γίνεται, δι' ὃ καὶ προαφαιροῦντες αὐτὰ ξηραίνουσιν. ἅπαντα δὲ πολύχοα καὶ πολυσπέρματα, πολυκαρπότατον δὲ τὸ ὤκιμον. ἔστι δὲ τὰ μὲν ἀκρόκαρπα καθάπερ ὤκιμον πράσον κρόμυον· τὰ δὲ πλαγιόκαρπα μᾶλλον οἷον ῥαφανὶς γογγυλὶς καὶ τὰ τοιαῦτα· τὰ δ' ἀμφοτέρως οἷον βλίτον ἀδράφαξυς, ἀμφότερα γὰρ ταῦτα καὶ ἐκ τοῦ πλαγίου καὶ τό γε πλεῖστον εὐθὺς παρ' ἕκαστον ὄζον προσκαθήμενον ἔχει τὸ σπέρμα βοτρυῶδες. τὰ δ' ἐκ παλαιοτέρων σπερμάτων θᾶττον ἐκκαυλεῖ, τάχιστα δὲ τὰ ἐκ τῶν ἀκμαζόντων· ἔστι γάρ τις ἀκμὴ καὶ τούτων. ἀνὰ λόγον δὲ καὶ τὸ κάλλος ἀκολουθεῖ τῶν .... ἐὰν τὰ ἄλλα τὴν αὐτὴν ἔχωσι θεραπείαν. δοκεῖ δὲ καὶ εἰς τὸ αὐτὸ ἀθρόα θεμένων καλλίω γίνεσθαι καὶ βλαστάνειν· οὕτω γὰρ τὸ τοῦ πράσου καὶ τὸ τοῦ σελίνου τιθέασιν ἀποδήσαντες εἰς ὀθόνιον καὶ γίνονται μεγάλα. συμβάλλεται δέ τι καὶ ὁ τόπος πρὸς αὔξησιν· κελεύουσι γοῦν ὅταν τις μεταφυτεύῃ τὰ σέλινα πάτταλον κατακρούειν ἡλίκον ἂν βούληται ποιεῖν τὸ σέλινον· τιθέναι δὲ καὶ ἐν ὀθονίῳ πάτταλον κατακρούσαντα καὶ πλήσαντα κόπρου καὶ γῆς. ἔνια δὲ καὶ τοῖς σχήμασιν ἐξομοιοῦται κατὰ τοὺς τόπους· ἡ γὰρ σικύα ὁμοιοσχή-

4. 5.

οὐχ ὡς ὁ σῖτος ὅς] dedi cum Schn. auctore Gaza: *nec modo frumenti consistunt, quod cum primum in plenum creverit mox exiccatur et decidit; οὐχ ὡς ὁ σῖτος γὰρ* UM H. et om. *γὰρ* P; *οὐχ ὡς σῖτος* Ald.; *τοῦτο γὰρ ὡς ὁ σῖτος ἐὰν* St.

ἀδρυνθῇ] Ald. Edd.; *ἀνδρυθῇ* U; *ἀδρυθῇ* M; *ἀδρυθῇ* P.

μάλιστα — γίνεται διό] sic dedit Schn. Desunt haec verba in lacuna in UM Ald. Bas. Supplevit ea prima Camotiana sic: *μάλιστα ὤκιμον· πάντα γὰρ ξηρανθέντα πολυκαρπότερα γίγνονται*, quae transscripsit H., pessumdedit St.: *μάλιστα ὠκίμου πάντα παρ' τὰ σπέρματα ξηρανθέντα* etc. Ceterum Camotium e versione Gazae desumsisse et haec et quae in altera tertiaque lacuna supplevit certum est. Sed unde Gaza habuit? num legit in codice suo, hoc loco integriore, quem plurimis in locis multo mutilum ac contaminatum magis libro Urbinate deprehendimus?

4 *πολύχοα*] UMP Ald. Sch.; *πολύκοα* Cam., quod mutavit in *πολύκαρπα* H.; *πολύκαυλα* St.; *feracia* G. Cf. Lobeck Paralip. I. p. 234.

ἔστι — ὤκιμον] U Sch. syll., om. ceteri omnes. Lacunam demonstraverat Sch.

γὰρ ταῦτα] *πολύκαυλα* add. St.

τὸ γε πλ.] U St. Sch.; *τὸ τε πλ.* Ald. H. Vix dubito quin *τό γε βλίτον* scribendum sit. — Deinde *ὄζον* om. St.; idem *ἐστι* pro *ἔχει* dat.

ἐκκαυλεῖ] *ἐκκαυλοῖ* P.

ἀκολουθεῖ τῶν] Hic est lacuna 1½ versuum in UMP Ald.; Cam. omisso *τῶν* continuo scripsit; *τῶν σπειρομένων* H.; *τῷ τῶν σπειρομένων* St.; *τῶν τοιούτων* cum Vo. et Vin. Sch., sed in syll. lacunam indicavit. *Pulchritudo quoque ad portionem sequitur* G.

εἰς τὸ αὐτὸ ἀθρόα] UM Sch.; *εἰς τὸ ἀθρόον αὐτὸ* Ald. H.; *εἰς τ. ἀθρ. αὐτά* St.; *εἰς τὸ ἀθρόον συντιθεμένων καλόν γιν.* P2.

θεμένων] UM Cam. Sch.; *θεμίων* Ald. Bas.; *τιθέμενα* H. St.

τὸ τοῦ π.] *τὰ τ. π.* St.

μεγάλα] correxi cum St.; *μεγάλαι* Ald. H. et Sch. qui *αἱ ῥίζαι* i. u. addidit.

5. *τιθέναι δὲ καὶ ἐνὸ θονίῳ*] *τιθέναι δὲ καὶ τὸν ἐν τῷ ὀθ.* P2 Ald. H.; *τιθ. δὲ καίτοι ἐν τ. ὀ.* St; *τιθ. δὲ καὶ* [*τὰ σπέρματα*] *ἐν τῷ ὀθονίῳ τὸν π.* Schn.; *Quamobrem apium transfertur: palum tantum adigere quantum apium facere volueris jubent. Nec non et ejus semen colligatum in laciniis palo adacto et fimo terraque ingesta serendum censent* (*cessent* Tarv.) G. Articulum inutilem ante *ὀθονίῳ* omisi.

πάτταλον] *τὸν πάτ.* Sch.

ἔνια δὲ] *τῶν καρπῶν* addit i. u. St.

κατὰ τοὺς τόπους] sic correxi; *καὶ τοῖς τόποις* Ald. Edd. Sch. *καὶ* seclusit. *τόποι* sunt stationes, habitacula. *Quaedam etiam figuram subditi loci imitantur* G. *ὁμοιοῦται τοῖς τόποις* P2.

μων γίνεται ἐν ᾧ ἂν τεθῇ ἀγγείῳ. καὶ διαφορὰν λαμβάνει κατὰ τοὺς χυμοὺς ἔνια προθεραπευθέντα τῶν σπερμάτων οἷον τὸ τοῦ σικύου ἐὰν ἐν γάλακτι βρέξαντες σπείρωσιν. ἀλλὰ τὰ μὲν τοιαῦτα ἴσως οἰκειότερα τῆς θεραπείας.

Cap. IV. Γένη δὲ τῶν μέν ἐστι πλείω τῶν δ' οὐκ ἔστιν, οἷον ὠκίμου λαπά- 4 H. 5 St.
θου βλίτου καρδάμου εὐζώμου ἀδραφάξυος χοριάννου ἀνήθου πηγάνου· τούτων γὰρ οὔ φασιν εἶναι γένους διαφοράν. τῶν δέ ἐστι, ῥαφανίδος ῥαφάνου τευτλίου σικύου κολοκύντης κυμίνου σκορόδου θριδακίνης. διαιροῦσι δὲ τοῖς τε φύλλοις καὶ ταῖς ῥίζαις καὶ τοῖς χρώμασι καὶ τοῖς χυλοῖς καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις. οἷον τῆς ῥαφανίδος γένη κορινθίαν κλεωναίαν λειοθασίαν ἀμωρέαν βοι- 2
ωτίαν· εὐαυξεστάτην δὲ τὴν κορινθίαν ἢ καὶ τὴν ῥίζαν ἔχει γυμνήν· ὠθεῖται γὰρ εἰς τὸ ἄνω καὶ οὐχ ὡς αἱ ἄλλαι κάτω. τὴν δὲ λειοθασίαν ἣν ἔνιοι καλοῦσι θρᾳκίαν ἰσχυροτάτην πρὸς τοὺς χειμῶνας. τὴν δὲ βοιωτίαν γλυκυτάτην καὶ τῷ σχήματι στρογγύλην, οὐχ ὥσπερ τὴν κλεωναίαν μακράν. ὅσων δ' ἂν ᾖ λεῖα τὰ φύλλα γλυκύτεραι καὶ ἡδίους, ὅσων δ' ἂν τραχέα δριμύτεραι. γένος

ἀγγείῳ· καὶ διαφορὰν] A *τεθῇ — λαμβάνει* est lacuna versus unius in UM Ald. duorum in P, quam explent *διαφορὰν δὲ καὶ* Cam., *τόπῳ· διαφορὰν δὲ καὶ* H. St., *καὶ διαφοράν* Sch.; *cucumis ejus formam accipiat loci quo sata fuerit. Quin et saporum differentiam quandam semina capiunt* G. Equidem e C. pl. 5, 6, 7 scripsi *ἀγγείῳ*, dein cum Schneidero *καὶ διαφορὰν* quod melius esse supplemento Camotiano facile vides. P$_2$ *τεθῇ· λαμβάνει δὲ* sine signo lacunae.

προθεραπευθέντα] P$_2$ Ald. Edd. o.; *προσθερ.* UM.

τὰ μὲν τοι.] U Sch. in Syll.; *τὰ μὲν* om. Ald. Edd.

Cap. IV.

βλίτου] H. St. Sch.: *βλήτου* Ald.

γένους διαφορὰν] Inter *εἶναι — τῶν δὲ* lacuna brevis in UM Ald., quam supplent *γένους διαφορὰν· τῶν δὲ ἀνάπαλιν πλείω γένει* Cam., quae cum sequentibus *τῶν δέ ἐστι* non coire adnotavit Sch., *εἶναι πλείω γένη οὐδὲ γένους διαφορὰν· τῶν δὲ ἀνάπαλιν πλείω γένη* H. St.; *διαφορὰν* Sch.; *His enim diversitatem generis omnino deesse volunt. Quaedam e contra pluribus constant generibus: radix* etc. G. Equidem praeter *διαφορὰν* etiam vocem *γένους* adsciscendam esse duxi.

2. *γένη — βοιωτίαν*] Inter *ῥαφανίδος — τίαν* lacuna in M Ald. et U, qui tamen in fine plenior sic habet *τὴν δὲ μόραν βοιωτ..ν*; complent eam Cam. *γένη κορίνθιον κλεωνέας λειοθα σιον βοιώτιον*, H. et St. *γένη κορινθίαν κλεωναίαν λειοθαλασσίαν βοιωτίαν*; Bas. *τὴν κορινθίαν κλεωνίαν λειοθαλασσίαν βοιωτίαν*; Sch.cont: *γένη τὴν μὲν κορινθίαν, τὴν δὲ κλεωναίαν, τὴν δὲ λειοθαλασσίαν, τὴν δὲ Βοιωτίαν·* ut Vo. et Vin. habere dicuntur; Sch.syll. — *τὴν δὲ λειοθασίαν τὴν δ' ἀμωρέαν Βοιωτίαν.* Athenae. 2 p. 56: *Θεόφραστος — γένη ῥαφανίδων φησὶν εἶναι πέντε κορινθίαν λειοθασίαν κλεωναίαν ἀμωρέαν βοιωτίαν.* Plin. 19, 5 s. 25: *naporum quinque genera fecere corinthium cleonacum liothavium boeoticum et quod per se viride dixerunt.* Gaza denique: *Ut radicis genera corinthium cleoneum liothalassium boecium.* Equidem articulum et supervacaneum et minus aptum omittendum esse duxi; *ἀμωρέαν* vero recipiendum ex Athenaeo et vestigiis ejus vocis in U, cujus scripturam *την δε μορων* ortam esse ex *ιαν* (fine vocis *λειοθασίαν*) *αμωσιαν* mihi persuadeo. Sic etiam sentit Meurs. Th. p. 96. Quae Plinius scripsit *quod per se viride dixerunt* ducunt ad *χλωράν*, quem in dubia scriptura hanc vocem loco ejus, quam Athenaeus integram servasse videtur *ἀμωρ.αν*, legisse et interpretatum esse suspicor.

εὐαυξεστάτην] *εὐαξ-* Ald ut plerumque Post *δὲ* addit *φασιν* St.

λειοθασίαν] corr. Sch. in Syll. ex Athenaeo et Plinio, quam scripturam in Commentar. jam comprobaverat; *λιωθαλασσίαν* U; *λειοθαλασσίαν* Ald. Edd. o.

θρᾳκίαν] UM Ald. Sch.; *βοιωτίαν* H. St. correctum a Meurs. Th. p. 97.

κλεωναίαν] H: Sch.; *—ναῖαν* St.; *-νίαν* Ald. M.

δέ τι παρὰ ταῦτά ἐστιν ὃ ἔχει τὸ φύλλον εὐζώμῳ ὅμοιον. ῥαφανῖδος μὲν οὖν
3. ταῦτα. γογγυλῖδος δὲ οἱ μέν φασιν εἶναι οἱ δ' οὔ φασιν, ἀλλὰ τῷ ἄρρενι καὶ τῇ θηλείᾳ διαφέρειν, γίνεσθαι δὲ ἐκ τοῦ αὐτοῦ σπέρματος ἄμφω. πρὸς δὲ τὸ ἀποθηλύνεσθαι πηγνύναι δεῖν μανάς· ἐὰν γὰρ πυκνὰς πάσας ἀπαρρενοῦσθαι, τὸν αὐτὸν δὲ τρόπον κἂν ἐν γῇ μοχθηρᾷ σπαρῶσι· δι' ὃ καὶ πρὸς σπερματισμὸν μεταφέροντες φυτεύουσι τὰς ἐκφύσεις καὶ πλατείας. ἔστι δὲ καὶ τὸ σπέρμα τῇ ὄψει τὸ χεῖρον καὶ βέλτιον φανερόν· τῆς μὲν γὰρ χρηστῆς λεπτὸν τῆς δὲ μοχθηρᾶς ἀδρόν. χειμαζομένη δὲ χαίρει καὶ αὕτη καὶ ἡ ῥαφανίς· οἴονται γὰρ ἅμα γλυκαίνεσθαί τε καὶ τὴν αὔξησιν εἰς τὴν ῥίζαν τρέπεσθαι καὶ οὐκ εἰς τὰ φύλλα. τοῖς δὲ νοτίοις καὶ ταῖς εὐδίαις ἐκκαυλεῖ ταχύ. τοῦτο μὲν οὖν λόγου
4. δεῖται τῆς ὁμοιώσεως ἐν ἀμφοῖν εἶναι τὰς διαφοράς. τῆς δὲ ῥαφάνου τριχῇ διαιρουμένης, δυλοφύλλου τε καὶ λειοφύλλου καὶ τρίτης τῆς ἀγρίας, ἡ ἀγρία τὸ μὲν φύλλον ἔχει λεῖον μικρὸν δὲ καὶ περιφερὲς, πολύκλαδος καὶ πολύφυλλος, ἔτι δὲ χυλὸν ἔχουσα ὀριμὺν καὶ φαρμακώδη, δι' ὃ καὶ πρὸς τὰς κοιλίας αὐτῷ χρῶνται οἱ ἰατροί. ὁμοίως δὲ καὶ ἐν ἐκείναις δοκοῦσι διαφοραὶ καθ' ἑκατέραν· ἐπεὶ ἄσπερμόν τι γένος αὐτῶν ἐστιν ἢ κακόσπερμον. τὸ δ' ὅλον ἡ οὐλη τῆς λείας εὐχυλοτέρα καὶ μεγαλοφυλλοτέρα· εὐχυλότερον δὲ καὶ τῶν τευτλίων τὸ λευκὸν τοῦ μέλανος καὶ ὀλιγοσπερμότερον ὃ καλοῦσί τινες σικελι-
5. κόν. ὡσαύτως δὲ καὶ τῆς θριδακίνης· ἡ γὰρ λευκὴ γλυκυτέρα καὶ ἁπαλωτέρα. γένη δὲ αὐτῆς ἐστὶν ἄλλα τρία τό τε πλατύκαυλον καὶ στρογγυλόκαυλον καὶ

μὲν οὖν ταῦτα] Ald. H. St.; Sch. addidit *γίνη*, quod ait e Camotiana sumsisse. Sed ibi non est.

3. *ἀλλὰ τῷ ἄρρ.*] *ἀλλὰ καὶ τῷ ἀ.* Ald. Edd. o.; Sch. *καὶ* seclusit. Conjicio *ἀλλ' ἢ τῷ ἀ.* fuisse.

τῇ θηλ.] U Ald. Edd.; *τῇ* om. St. Sch. mavult *τῷ θήλει.*

πηγνύναι δεῖν] corr. Sch.; *π. δεῖ* Ald. Edd. Vocem *πηγνύναι* immerito suspectam habuit Sch.; dicitur de seminibus quae non spargendo seruntur sed fere singula in foveolas antea factas immittuntur, nos: *stecken*. Quae hic de gongylide afferuntur in P₂ paullum mutata de raphanide, vitio aperto, dicuntur.

τὸν αὐτὸν — σπαρῶσι] om. St.

πρὸς σπερματισμὸν] dedi de conj.; *τοὺς σπερματισμοὺς* Ald. H. St., quod explicant cum Scaligero *plantulas e semine enatas; πρὸς τοὺς σπερματισμους* Sch. Ceterum haereo in v. *ἐκφύσεις*

καὶ πλατείας] UM Ald. Sch.; *καταπαρείσας* H. St. inepte; debebant *διαστηχνίας* scribere. Verba corrupta sunt.

καὶ βέλτιον] *καὶ τὸ β.* Sch.; *σπ. τὸ τῇ ὄψει χ. κ. β.* St.

χρηστῆς — μοχθηρᾶς] de solo dici putat Sch., qui dubitat an potius *χρηστὸν — μοχθηρὸν* scribendum sit, suadentibus G. et Plinio. Equidem ista refero ad *γογγυλίδα*, quae et ipsa paullo post indicatur pronomine *αὕτη*. Comparavi §. 6, ubi *gongylidis* non diversa genera esse dicuntur sed in eodem genere alterum melius alterum deterius.

νοτίοις] *νότοις* H.

ἐκκαυλεῖ] *ἐκκαυλεῖν* Sch.

τῆς ὁμοιώσεως — διαφοράς] Verba haec evidenter vitiosa sunt; et structura laborat et sententia est obscura. *quatenus in ambobus differentiae similitudinis constat* G.

4. *οὐλοφύλλου — μὲν φύλλον*] dedi cum UM Ald., additis tantum verbis *ἡ ἀγρία; τῆς οὐλ. τε καὶ τῆς λειο.* St.; *οὐ λειοφύλλου* ab initio H.; *ἡ μὲν ἐστιν οὐλόφυλλος ἡ δὲ λειόφυλλος. καὶ τρίτη ἡ ἀγρία ἢ τὸ μὲν φύλλον* Sch. Equidem cautius restituisse locum mihi persuadeo, simul ita ut structura ab initio incepta recte ac ex more Theophrasteo procedat. Ad *πολύκλαδος* subaudies *οὖσα*, ut ostendit quod sequitur *ἔχουσα*. H. et St. addunt *δὲ*.

ἐκείναις] sic optime emendavit Sch.; *ἐκείνῳ* Ald. H. St.

ὀριμὺν] Sch.; *ὁριμὴν* Ald. H. St.

καθ' ἑκατέραν] U Sch.syll.; *καθ' ἑτέραν* M Ald.; *καὶ ἑτέραι* H. St. Sch.cont.

τρίτον τὸ λακωνικόν· αὕτη δὲ τὸ μὲν φύλλον ἔχει σκολυμῶδες ὀρθὴ δὲ καὶ εὐαυξὴς καὶ ἀπαράβλαστος ἐκ τοῦ καυλοῦ. τῶν δὲ πλατειῶν οὕτω τινὲς πλατύκαυλοι γίνονται ὥστ' ἐνίους φασὶ καὶ θύραις χρῆσθαι κηπουρικαῖς. τὸ δὲ ὀπῶδες σφόδρα καὶ μικρόφυλλον καὶ λευκοκαυλότερον ἔοικεν ἀγρίᾳ. τῶν δὲ 6.
σελίνων καὶ ἐν τοῖς φύλλοις καὶ ἐν τοῖς καυλοῖς αἱ διαφοραί· τὸ μὲν γὰρ πυκνὸν καὶ οὖλον καὶ δασὺ τὸ φύλλον ἔχει τὸ δὲ μανότερον καὶ πλατύτερον καυλὸν δὲ μείζω. τούτων δὲ πάλιν τὰ μὲν λευκόκαυλα τὰ δὲ πορφυρόκαυλα ἢ ποικιλόκαυλα· τὸ δ' ὅλον ἅπαν τὸ τοιοῦτον ἐμφερέστερον τῷ ἀγρίῳ. σικύου 7
δὲ καὶ κολοκύντης τοῦ μὲν εἶναί φασι γένη τῆς δ' οὐκ εἶναι καθάπερ τῆς ῥαφανίδος καὶ τῆς γογγυλίδος ἀλλ' ἐν τῷ αὐτῷ γένει τὰς μὲν βελτίους τὰς δὲ χείρους. τοῦ δὲ σικύου τρία λακωνικὸν σκυταλίαν βοιώτιον· τούτων δὲ ὁ μὲν λακωνικὸς εὑρευόμενος βελτίων, οἱ δ' ἕτεροι ἀνεύρευτοι. διαφέρει δὲ γένει
καὶ τὰ κρόμυα καὶ τὰ σκόροδα. πλείω δὲ τοῦ κρομύου τὰ γένη οἷον τὰ κατὰ τὰς χώρας ἐπικαλούμενα σάρδια κνίδια σαμοθράκια, καὶ πάλιν τὰ σητάνια καὶ σχιστὰ καὶ ἀσκαλώνια. τούτων δὲ τὰ μὲν σητάνια μικρὰ γλυκέα δὲ εὖ μάλα,

5. *σκολυμῶδες*] Ald. H. St. Sch. et Athenae. 2. p. 69; *σκολιχῶδες* M.

εὐαυξὴς] *εὐαξὴς* Ald.

ἀπαράβλαστος] Ald. H. Sch., et Athenae l. l.; *ἀπαράβλαστον* UM; *παράβλαστος* St.

πλατειῶν] *πλατείων* Ald.; *πλατέων* U; *πλαγίων* scripto *τέ* super *γι* P₂. — Dein *πλατοκαυλ* — St.

γίνονται] *λέγονται* P₂.

κηπουρικαῖς] UP Sch.syll.; *κηπωρικαῖς* M Ald. H. St. Sch.; *καὶ πωριακαῖς* P₂.

τὸ δὲ ὀπῶδες] *τὸ δὲ στρογγυλόκαυλον ὀπῶδες* St., qui cum Salmasio haec verba ad speciem secundam, tereticaulem, pertinere existimabat. Salmasius vero censebat Plinium *πωώδες* legisse. Schneider vocem *ἄλλα* sic accipit, ut ea aliam divisionem specierum, a prima illa a coloribus petita diversam, significet.

ἔοικεν ἀγρίᾳ] Ald. Edd.; *ἔοικε τῇ ἀγρίᾳ* Sch.

6. *τὸ δὲ μαν.*] U Ald. H. Sch.; *τὰ δὲ μ.* St. — *μανότερον* P Sch.syll.; *μανώτερον* Ald. Edd. o.

τούτων δὲ πάλιν] *τῶν θριδακινῶν* i. u. addidit St., qui haec ad *lactucam* referenda esse opinabatur.

ἅπαν τὸ τοιοῦτον] „Ad quod genus referatur, non reperio" Sch. Referendum est ad genus alterum *selini*, quod indicatur verbis *τὸ δὲ — μείζω*.

τῷ ἀγρίῳ] *τῇ ἀγρίᾳ* St. — *ἐμφερέστερον* U Sch.syll.; *ἐμφερέστατον* Ald. Edd. o.

κολοκύντης] *—κύνθης* St. — Deinceps *τῆς μὲν* H. St.

ἀνεύρευτοι] *τοὺς δ' ἑτέρους ἀνεύρους* Athenae. 3. p. 74.

7. *τὰ γένη*] UM Ald. H. Sch.; *τὰ* om. St.

σάρδια] St. Sch., praeeunte Meurs. Th. p. 98; *Sardia* Plin. 19, 6 s. 32; *γάρδια* Ald. H.; *Gardiae* G.; *γὰρ διάκνιδα* P₂.

κνίδια] Ald. H. St. Sch.; *κνίδα* UM (*κήδα* M sec. Schn. Comm.); *Cnidiae* G.

σαμοθράκια καὶ πάλιν — σχιστὰ καὶ ἀσκαλώνια] sic PP₂ H. St. (qui *ἀσκαλωνικὰ* scripsit); *— σχιστὰ ἀσκαλώνια* Ald.; *σαμοθράκια, ἀσκαλωνια' καὶ πάλιν τὰ σητάνια καὶ σχιστά.* Schn., qui vocem *ἀσκαλώνια* in superiorem locum retraxit, quoniam hoc genus ad ea pertineat, quae a loco natali nomen duxerint. Quod quidem argumentum ad mutandam scripturam non valet; nihil enim impedit quominus tribus illis, quae a loco natali nomen traxerunt, *sardiis, cnidiis, samothraciis*, enumeratis, alia adjungerentur genera, quorum unum et ipsum a patria nomen accepisset. Juxta vero, opinor, *τὰ σχιστὰ* atque *τὰ ἀσκαλώνια* posuit, quoniam in earum descriptione et cultura, utpote bene ipsi cognitarum, longior esse earumque insignes quasdam differentias enarrare volebat. Vitiosa igitur est Aldinae scriptura, *καὶ* omittentis: sic enim *σχιστὰ ἀσκαλώνια* unum indicarent genus. Sed *τὰ ἀσκαλώνια* sunt *μόνα οὐ σχιστά*; sic enim paullo mox scribendum est.

τὰ δὲ σχιστὰ καὶ ἀσκαλώνια καὶ ταῖς θεραπείαις διαφέροντα καὶ δῆλον ὅτι τῇ φύσει· τὸ γὰρ σχιστὸν τῷ μὲν χειμῶνι μετὰ τῆς κόμης ἐῶσιν ἀργὸν ἅμα δὲ τῷ ἦρι τὰ φύλλα περιαιροῦσι τὰ ἔξω καὶ τὰ ἄλλα θεραπεύουσι· περιαιρεθέντων δὲ τῶν φύλλων ἕτερα βλαστάνει καὶ ἅμα κάτω σχίζεται, διὸ καλοῦσι σχιστά. οἱ δὲ καὶ ὅλως φασὶ πάντων δεῖν ὅπως ἡ δύναμις εἰς τὸ κάτω καὶ μὴ σπερμοφυῇ.

8. τῶν δὲ ἀσκαλωνίων ἰδία τις ἡ φύσις· μόνα γὰρ οὐ σχιστὰ καὶ ὥςπερ ἄγονα ἀπὸ τῆς ῥίζης, ἔτι δὲ ἐν αὐτοῖς ἀναυξῆ καὶ ἀνεπίδοτα· διὸ δ καὶ οὐ πηγνύουσιν ἀλλὰ σπείρουσιν αὐτὰ καὶ σπείρουσιν ὀψὲ πρὸς τὸ ἔαρ, εἶθ' ὅταν βλαστήσῃ μεταφυτεύουσι· τελειοῦται δὲ οὕτω ταχέως ὥσθ' ἅμα τοῖς ἄλλοις ἤ καὶ πρότερον ἐξαιρεῖσθαι· πλέονα δὲ χρόνον ἐαθέντα ἐν τῇ γῇ σήπεται· φυτευθέντα

9. δὲ καυλὸν ἀφίησι καὶ σπέρμα φύει μόνον, εἶτα κενοῦται καὶ αὐαίνεται. τούτων μὲν οὖν τοιαύτη τις ἡ φύσις. διαφέρει δ' ἔνια καὶ τοῖς χρώμασιν· ἐν Ἰσσῷ γὰρ τὰ μὲν ἄλλα ὅμοια τοῖς λευκοῖς λευκὰ δὲ σφόδρα τῇ χροιᾷ· φέρειν δέ φασιν ὅμοια τοῖς σαρδιανοῖς. ἰδιωτάτη δὲ ἡ φύσις ἡ τῶν κρητικῶν παραπλησία δὲ τρόπον τινὰ τοῖς ἀσκαλωνίοις εἰ μὴ ἄρα καὶ ἡ αὐτή. ἐν Κρήτῃ γάρ ἐστί τι γένος ὃ σπειρόμενον μὲν ῥίζαν ποιεῖ φυτευόμενον δὲ καυλὸν καὶ σπέρμα, κεφαλὴν δὲ οὐκ ἴσχει, γλυκὺ δὲ τῷ χυμῷ· τοῦτο γὰρ οἷον ἀνάπαλιν ἔχει

10. τοῖς ἄλλοις. ἅπαντα γὰρ πηγνύμενα καὶ βελτίω καὶ θᾶττον παραγίνεται. πάντα δὲ φυτεύεται μετ' ἀρκτοῦρον ἔτι θερμῆς οὔσης τῆς γῆς ὅπως τὰ

διαφέροντα] UMP₂ Ald. Sch.; *διαφέρει* H. St.

τὸ γὰρ σχιστὸν] sic correxi: *τῷ* om. UMP₂ Ald.; *τὸ σχιστὸν γὰρ* H. St.; *καὶ γὰρ τὸ σχ.* Sch. cum Vo. Vin.

τῆς κόμης ἐῶσιν ἀργὸν] corr. Scalig. Sch.; *Fissilem enim sua cum coma inertem relinquunt* G.; *τῆς κοιμήσεως ἀργὸν* UMP₂ Ald.; *τῆς κόμης ἀργὸν ἀπολείπουσι* cum Dalec. H. St.

περιαιροῦσι] corr. Scal. Sch.; *περιάγουσι* P₂ Ald. H. St.

ἕτερα] *τὰ ἕτερα* P₂ Ald. Edd.; *τὰ* seclusit Sch.; *et alia subnascuntur* Plin.; *altera germinant* G.

πάντων δεῖν] Ald. H.; *περιαίρειν τὸ φύλλον* i. u. St. adjecit; *π. δεῖν περιαιρεῖν* Sch.

εἰς τὸ κάτω] M Sch.; *εἰς τὰ κάτω* Ald. Edd. Schn. i. u. addidit *τρέπηται*.

σπερμοφυῇ] UM Ald. Sch.; *σπερματοφυῇ* H. St.

8. *γὰρ οὐ σχιστὰ*] dedi cum Scalig. et Sch.; *γὰρ σχιστὰ* Ald. Edd. Quum Cepae ascaloniae *ἄγονα ἀπὸ τῆς ῥίζης* esse, cumque ipsae a Cepis fissilibus et omnibus reliquis (*ὅλως — πάντων*) speciebus peculiari sua natura differre dicantur, dubium esse nequit quin negandi particula a librariis omissa sit.

ἄγονα] mBas. Scalig. H. St. Sch.; *ἄτονα* UMP₂Ald.; *quasi steriles ab radice sunt* G.

αὐτοῖς] *αὐταῖς* St. — Antea *ἔστι δὲ* UP₂.

δὲ οὕτω ταχέως] sic dedi cum Sch. non sine dubitatione; *perficiuntur adeo celeriter* G.; *δὲ τοῖς ἄλλοις ταχ.* Ald. Edd.

πλέονα] U; *πλέον* M; *πλείω* Sch.; *πολὺν* Ald. Edd.; *plus temporis* G.

σπέρμα φύει] Ald. H. St.; *σπερμοφυεῖ* Sch.

κενοῦται] corr. St. Sch.; *καινοῦται* Ald. H.; *exinaniuntur* G.

9. *ἐν Ἴσσῳ*] Sch.; *apud issum* G.; *ἐν ἴσῳ* UM; *ἐν νήσῳ* Ald. H.; *ἐν νήσῳ* [*Σαμίῳ*] St. — Deinceps *τὰ* om. H.;

λευκοῖς λευκὰ] Ald. Edd. o.; *λευκοῖς λευκὰ. λευκὰ* MP. Verba *τοῖς λευκοῖς* aperte sunt vitiosa, nec sequentia carent difficultate. *λευκοῖς ἐρυθρὰ δὲ* St.

φασιν] *τὴν νῆσον* i. u. addit St.

γὰρ ἐστί τι γένος] sic Ald. Cam. H. St. Sch.; *ἐστι* quod in Ald. in compendio scriptum, om. Bas.; *γὰρ ἐστι γένος* M.

κεφαλὴν] Ald. Edd. praeter Bas. quae *κεφαλῇ* dat.

γλυκὺ δὲ τῷ χυμῷ] Ald. Edd.; — *χυλῷ* Sch.; *γλυκεῖ δὲ χυμῷ* M.

ἀνάπαλιν] *τι* add. St.

10. *γὰρ πηγ.*] St.; *γὰρ καὶ π.* Ald. H.; Sch. *καὶ* seclusit.

φυτεύεται] corr. Sch.; *φύεται* Ald. Edd.

ὕδατα πεφυτευμένα καταλαμβάνῃ. καὶ ὅλα δὲ φυτεύεται καὶ διατεμνόμενα παρὰ τὴν κεφαλήν. οὐχ ὅμοιαι δὲ αἱ ἐκβλαστήσεις, ἀλλ' ἐκ μὲν τοῦ κάτω γίνεται κρόμυον ἐκ δὲ τοῦ ἄνω χλόη μόνον· ὀρθὸν δὲ διατμηθὲν ὅλως ἀβλαστές ἐστι. τὸ δὲ γήτειον καλούμενον ἀκέφαλόν τι καὶ ὥσπερ αὐχένα μακρὸν ἔχον ὅθεν καὶ ἡ βλάστησις ἄκρα· καὶ ἐπικείρεται πολλάκις ὥσπερ τὸ πράσον, δι' ὃ καὶ σπείρουσιν αὐτὸ καὶ οὐ φυτεύουσι. τὰ μὲν οὖν κρόμυα σχεδὸν ταύτας ἔχει τὰς ἰδέας. τὸ δὲ σκόροδον φυτεύεται μὲν μικρὸν πρὸ τροπῶν ἢ μετὰ 11.
τροπὰς διαιρούμενον κατὰ γέλγεις. διαφορὰ δέ ἐστιν αὐτῶν ἥ τε τῶν ὀψίων πρὸς τὰ πρώϊα, γένος γάρ τι τυγχάνει τοιοῦτον ὃ ἐν ἑξήκοντα ἡμέραις τελειοῦται, καὶ μεγέθει καὶ μικρότητι· καὶ τῷ μεγέθει γένος τι διάφορόν ἐστι, μάλιστα δὲ τὸ κύπριον καλούμενον τοιοῦτον, ὅπερ οὐχ ἑψοῦσιν ἀλλὰ πρὸς τοὺς μυττωτοὺς χρῶνται καὶ ἐν τῇ τρίψει θαυμαστὸν ποιεῖ τὸν ὄγκον ἐκπνευματούμενον· καὶ ἔτι τῷ μὴ ἔχειν ἔνια τὰς γέλγεις. ἡ δὲ γλυκύτης καὶ ἡ εὐωδία καὶ ἡ ἁδρότης σχεδὸν παρὰ τὰς χώρας γίνεται καὶ τὰς θεραπείας ὥσπερ καὶ τῶν ἄλλων. τελειοῦται δὲ καὶ ἀπὸ σπέρματος ἀλλὰ βραδέως· τῷ πρώτῳ γὰρ ἔτει κεφαλὴν ἡλίκην πράσου λαμβάνει τῷ δ' ὕστερον γελγιδοῦται καὶ τῷ τρίτῳ τέλειον γίνεται, καὶ οὐδὲν χεῖρον ἀλλ' ἔνιοί γε καὶ κάλλιόν φασι τοῦ πηκτοῦ. τῆς 12.
δὲ ῥίζης ἡ γένεσις οὐχ ὁμοία τοῦ τε σκορόδου καὶ τοῦ κρομύου· ἀλλὰ τοῦ μὲν σκορόδου ὅταν ἀνοιδήσῃ ἡ γελγὶς κυρτοῦται πᾶσα καὶ ἐνταῦθα αὐξηθεῖσα διαιρεῖται πάλιν εἰς τὰς γέλγεις καὶ ἐξ ἑνὸς πολλὰ γίνεται τῷ τελειοῦσθαι τὴν κε-

ὕδατα πεφυτ. καταλ.] Ald. H.; *ὕδ. καταλαμβάνῃ τὰ πεφυτ.* St. Sch. Sensus vulgatae est: ut aquae depositis illis supervenient. — *καταλαμβάνει* P.

φυτεύεται] M Sch.; *φύεταί τε* Ald. Edd.

γήτειον] UM Ald. Sch.; *γήθυον* H. St.; *gethyum* G.

ἀκέφαλόν] — *αὐχένα*] Ald. H. St.; *ὥσπερ ἀκέφαλόν τι καὶ αὐχένα* Sch.

βλάστησις ἄκρα] *ob id germinatio tota in fronde* G. Haec verba suspecta habet Sch. ad cap. 2, 2. Ego sic intelligo: quoniam radix *γητείου* sursum in collum elongatur, germinatio i. e. exsertio foliorum et scapi *ἄκρα* est, scilicet alta, super ipsam terram cujus superficiem collum illud attingit.

πράσον] *πράσον* superscripta σ altero P.

σπείρουσιν αὐτο καὶ] om. St.

11. *κατὰ γέλγεις*] corr. Scal. Sch.; *nucleatim divisum* G.; *κατὰ γένη* Ald. Edd.

ὀψίων] UM mP Sch. syll.; *ὀψίμων* P Ald. H. St.

ὃ ἐν ἑξήκοντα] Sch.; *ὅθεν ἑξήκοντα* UM; *ὅθεν ἑξήκονθ'* Ald.; *ὅτε ἐν ἑξ.* H.; *ὅτι ἐν ἑξ.* St.

καὶ τῷ μεγ.] Ald. Edd.; *καὶ γὰρ τῷ μεγ.* cum Scalig. Sch.

καὶ ἔτι] *διαφέρει* add. i. u. St.

γέλγεις] *γέλεις* mBas.

χώρας] cum Dalecamp. H. St. Sch.; *ὥρας* UMPε Ald.; *Dulcedo autem et odor et crassitudo eorumque causa tempore cultuque pene videntur contingere ut etiam aliorum* G. ed Paris et Bas., sed in Tarv. *eorumque — videntur* ac deinde *ut* omissa sunt.

ἡλίκην πράσου] Ald. Edd. o.; *ἡλιδείην πράσσου* M.; *πράσσου* P.

γελγιδοῦται] U Sch.; *γελδιδοῦται* M Ald. Cam.; *γελδιοῦγται* H.; *γελχιοῦται* St.; *γελγουδοῦται* Bas.

12. *τοῦ τε σκορ.*] *τοῦ τε γὰρ σκ.* St. — Sequentia e codice U redintegravimus; verba *καὶ τοῦ κρομύου ἀλλὰ τοῦ μὲν σκορόδου* desunt in Ald. Edd.: e versione Gazae *radicis autem allii aut cepe haud similis ortus fieri solet: allii namque cum nucleus extumuerit* etc. sic suppleverat Sch.: *καὶ τοῦ κρομύου· τοῦ γὰρ σκορόδου.*

ἀνοιδήσῃ] H. St. Sch.; *ἀνοιγήσῃ* Ald.

τὰς γέλγεις] *τὰς* seclusit Sch.

τελειοῦσθαι] St. Sch.; *τελεῖσθαι* Ald. H.

φαλὴν, τὸ δὲ κρόμυον εὐθὺς ἐκ τῆς ῥίζης ἄλλο καὶ ἄλλο παραφῆσι καθάπερ καὶ βολβοὶ καὶ σκίλλα καὶ πάντα τὰ τοιαῦτα. καὶ γὰρ τὰ κρόμυα καὶ τὰ σκόροδα μὴ ἀναιρούντων ἀλλ' ἐώντων πολλὰ γίνεται. φέρειν δέ φασι καὶ τὸ σκόροδον ἐπὶ τῆς φύσιγγος σκόροδα καὶ τὸ κρόμυον κρόμυα· περὶ μὲν οὖν τῶν γενέσεων ἱκανῶς εἰρήσθω.

5 H. 6 St. ΚΕΦ. V. Φίλυδρα δὲ πάντα τὰ ἄλλα λάχανα καὶ φιλόκοπρα πλὴν πηγάνου, τοῦτο δὲ ἥκιστα φιλόκοπρον. τὰ χειμερινὰ δὲ οὐχ ἧττον τῶν θερινῶν καὶ τὰ ἐπίκηρα τῶν ἰσχυρῶν. κόπρον δὲ μάλιστα ἐπαινοῦσι τὴν συρματῖτιν, τὴν δὲ τῶν ὑποζυγίων μοχθηρὰν διὰ τὸ μάλιστα ἐξικμάζεσθαι· ζητοῦσι δὲ τὴν κόπρον ἅμα τῷ σπόρῳ μάλιστα συναναμιχθεῖσαν· οἱ δὲ καὶ σπείροντες ἐπιβάλλουσι· χρῶνται δὲ καὶ τῇ ἀνθρωπίνῃ ὠμῇ πρὸς τὴν χύλωσιν. φιλυδρότερα δὲ τὰ χειμερινὰ τῶν θερινῶν καὶ τὰ ἀσθενῆ τῶν ἰσχυρῶν ἔτι δὲ τὰ πλείστης δεόμενα τροφῆς. φίλυδρα καὶ τὸ κρόμυον καὶ τὸ γήθυον· καίτοι φασί τινες οὐ
2. ζητεῖν ἐὰν τὸ πρῶτον ἐπιγένηται ὁἷς ἢ τρίς. τῶν δὲ ὑδάτων ἄριστα τὰ πότιμα καὶ τὰ ψυχρὰ, χείριστα δὲ τὰ ἁλυκὰ καὶ δυσμανῆ, δι' ὃ καὶ ἐκ τῶν ὀχετῶν οὐ χρηστά· συμπεριφέρει γὰρ σπέρματα πόας. ἀγαθὰ δὲ τὰ ἐκ διός· ταῦτα γὰρ δοκεῖ καὶ φθείρειν τὰ θηρία γινόμενα τὰ γόνιμα κατεσθίοντα. φασὶ δέ τινες οὔτε τοῖς σικύοις συμφέρειν οὔτε τοῖς κρομύοις. ἀρδεύουσι δὲ τὰ μὲν ἄλλα πρωΐ ἢ πρὸς ἑσπέραν ὅπως μὴ καθέψηται τὸ δὲ ὤκιμον καὶ μεσημβρίας· καὶ γὰρ διαβλα-

καὶ βολβοὶ καὶ σκίλλα] H. et Ald. quae *σκύλλα* habent; *καὶ οἱ β. καὶ ἡ σκ.* St. Sch. P dat *σκίλλα*.

ἐώντων] *ἑόντων* Bas.

φέρειν — κρόμυα] dedi cum Sch.; *φέρει δέ φασι καὶ τὸ σκόροδον ἐπὶ τῆς σφύριγγος σκόροδα καὶ τὰ κρόμμυα* UM Ald.; *φέρειν δέ φασι καὶ τὸ σκόροδον κεφαλὰς ἐπὶ τῆς σφύριγγος καὶ τὰ κρόμμυα* H.; — *σκόροδον κεφαλὰς μετὰ τῆς φύσιγγος ὡς καὶ τὰ κρόμμυα* St.; *super fistula quoque et alium capitari posse et cepe affirmant* G. *φύσιγγος* correxerunt Casaub. ad Athenae. 2 p. 68 et Salmas Ex. p. 822.

γενέσεων] USch.syll.; *γενεῶν* MP; *γενῶν* Ald. Edd. o.

ΚΕΦ. V.

συρματῖτην] P$_2$: *συρματίτιν* Ald. Edd. Vide 2, 7, 4.

σπείροντες] P$_2$ Ald. H. St.; *σπείραντες* Sch.

τὰ πλείστης δεόμενα] H. St. Sch.; *τὰ πλεῖστα δεόμενα* UM Ald. *Item quae alimento plurimo egeant* G.

φίλυδρα καὶ] *φιλ. ὡς καὶ* St.

πρῶτον ἐπιγένηται] corr. Sch. in Comm.; *πρ. ἐγγένηται* UM Ald.; *πρ. ὑετὸς ἐγγ.* H. St.; *πρ. ὕδωρ ἐγγ.* cum Scalig. Sch. At ὕδωρ e verbo *φίλυδρα* repetendum est; *ἐνίηται* conj. Dalec. Aliud vero vitium inesse videtur.

2. *ἁλυκὰ*] St. Sch.; *ἁλικὰ* Ald. H. Deinceps *ὡς* add. St.

δυσμανῆ] UM Ald. St. Sch.syll.; *δυσμενῆ* H. Sch.cont. Spreng. derivat a *μανὸς* et interpretatur *nicht leicht verdampfendes Wasser*. Quod si verum est, quod non dixerim, sequentia stare possunt. Poeticum *δεσπινῆ* Theophrasto obtrudere nolui. *Rarefactu difficiles* G. E Plinio 19, 11 s. 59 nihil boni elicies.

δι' ὃ καὶ ἐκ τῶν] Ald. H.; *καὶ τὰ ἐκ τῶν* St.; (*διὸ*) *καὶ* [*τὰ*] *ἐκ τῶν* Sch. Fortasse *ἔτι καὶ ἐκ τῶν* scribendum.

οὐ χρηστὰ] sic correxi sensu flagitante; *εὔχρηστα* Ald.; *ἧττον εὔχρηστα* H. St.; *οὐκ εὔχρηστα* Sch.; *perutiles* G.

σπέρματα πόας] UM Ald. Sch.; *σπ. τῆς πόας* H. St.

θ. γινόμενα τὰ γόνιμα κατεσθ.] ita cum H. Sch. correxi interserto articulo; *θ. γινόμενα γόνιμα κατ.* UM Ald.; *χωρία γινόμενα γόνια* P$_2$; *θ. ἐγγινόμενα τὰ γον. κ.* St. Schn. *γόνιμα* e voce *γινόμενα* ortum esse conset. Interpretor *τὰ γόνιμα germina* atque comparo *τὰς γονίμους ἀρχὰς* C. pl. 1, 15, 1.

σικύοις] *συκέοις* Bas.; *ὕδωρ* i. u. addit St.

στάνειν θᾶττόν φασι θερμῷ τὸ πρῶτον ἀρδευόμενον. τὸ δὲ πολὺ λίαν ὕδωρ ὀχεῖ συμφέρειν ἄλλως τε καὶ ἐὰν μετέχῃ κόπρου· πολλάκις γὰρ πεινῆν τὰ λάχανά φασι καὶ ταῦτα γνωρίζειν τοὺς ἐμπείρους τῶν κηπουρῶν. μεταφυτευ- 3
όμενα δὲ πάντα καλλίω καὶ μείζω γίνεται· καὶ γὰρ τὰ τῶν πράσων μεγέθη καὶ τὰ τῶν ῥαφανίδων ἐκ μεταφυτείας. μάλιστα δὲ μεταφυτεύουσι πρὸς τοὺς σπερματισμούς· καὶ τὰ μὲν ἄλλα ὑπομένει οἷον γήθυον πράσον ῥάφανος οἶκυος σέλινον γογγυλὶς θριδαξ, τὰ δὲ γλίσχρως. ἅπαντα δ' εὐαυξέστερα καὶ μείζω πηγνυμένων τῶν σπερμάτων ἢ σπειρομένων. θηρία δὲ γίνεται ταῖς μὲν ῥαφα- 4
νίσι ψύλλαι τῇ δὲ ῥαφάνῳ κάμπαι καὶ σκώληκες, καὶ ἐν τῇ θριδακίνῃ καὶ ἐν τοῖς πράσοις καὶ ἐν ἄλλοις δὲ πλείοσιν αἱ πρασοκουρίδες. ταύτας μὲν οὖν ἡ κράστις ἀθροισθεῖσα ἀπόλλδσι καὶ ὅταν κόπρον ἀθρόαν τις καταβάλῃ· φιλό-
κοπρον δ' ὂν τὸ θηρίον ἀναδύεται καὶ ἐνδῦσα κοιμᾶται ἐν τῇ κόπρῳ, δι' ὃ δὴ ῥᾴδιον θηρεύειν· ἄλλως δ' οὐκ ἔστι. ταῖς δὲ ῥαφανίσι πρὸς τὰς ψύλλας ἀρ-

καθίψηται] corr. Scb.; *ne aqua fervens sole officiat* G.; *ne inferveseat aqua sole* Plin. 19 s. 60; *καθάψηται* P₂ Ald. Edd.

ἐὰν μετέχῃ κόπρου] sic correxi; *ἐὰν μὴ ἔχῃ κόπρον* Ald. Edd. o. Vitium primus indagavit Dalec. qui negationem delere jubebat. Delendam esse docent sequentia; si enim *λάχανα* dicuntur *πεινῆν* id ea nutrimentum desiderare significatur quod fimo praebetur; contra si aquam puram desiderarent olera *διψῆν* dixisset. Vide C. 3, 9, 2. *κόπρως* Cam.

πεινῆν] *πεινᾶν* H. St.; *πείνην* UM.

κηπουρῶν] UM Scb.; *κηπωρῶν* Ald. Edd. et P sed *ου* superscripto.

3. *τὰ τ. τρ. μεγέθη καὶ τὰ*] Ald. Edd.; *τὸ τ. πρ. μεγέθει καὶ τὸ* UM; *μεγέθει* quoque P.

σπερματισμοὺς] cum Scalig. H. St. Scb.; *σπερματικοὺς* UM Ald. Cf. c. 4, 3. *Porrorum n. radicumque magnitudo ex translatione potissimum ad et caetera quidem tolerant ceu gethyum* G.

τὰ δὲ γλίσχρως] de conj. Scb.; *τὰ δὲ* deest in omnibus; *γλίσχρως* U, *γλίσχροι* M; *γλίσχρος* Ald. H.; *γλήχων* conj. Scal., dedit St. Ad *ὑπομένει* subaudies *τὴν μεταφυτείαν*. Nihil nos movet auctoritas Plinii scribentis l. l.: *In translatione et medicina est desinuntque sentire injurias ut gethyum* etc.: is vocem *ὑπομένει* plenius interpretatus esse videtur, an recte dubito.

ἅπαντα δ' εὐ.] UMP Ald. St. Scb.syll.; *ἅπ. καὶ εὐ.* Cam. H. Scb.cont. Ceterum *εὐαξίστερα* P₂ Ald.

4. *δὲ γίνεται*] UM Ald. Scb.syll.; *δὲ ἐγγίνεται* H. St. Scb.cont.

δὲ πλείοσιν] UMP Scb.; *δὲ* om. Ald. Edd.

πρασοκουρίδες] H. St. Scb.; *πρασοικουρίδες* duplici scriptura confusa U, *πρασοικουρ.* Ald. M.

ἡ κράσις] de conj. RConst. Scb.; *ἡ κρᾶσις* Ald. Edd.; *has igitur humor collectus interimit* G.

ὅταν κόπρον ἀθρόαν τις καταβάλῃ] dedi de conj. partim a Schneidero accepta; *ὅταν κόπρος ἀθρόα που καταλάβῃ* Ald. Edd. o.; *et fimum acervatim injectum* pergit G. Scaliger maluit *ὅταν κόπρον ἀθρόαν που καταλάβῃ* scribi atque haec verba continuo cum sequentibus jungi.

φιλόκοπρον — κοιμᾶται] dedi de conj.; *φιλόπονον τὸ θηρίον ἀναδύεται καὶ ἐν αἷς κοιμᾶται* UM Ald.; *φίλυπνον τὸ θ. ἀναδύεται καὶ ἐν* — H.; *φίλυπνον γὰρ τὸ θ. ἐν. ἐν αἷς κ.* St. *Industria enim bestiola condens sese ut in stramento quiescit in stercore* G. *φίλυπνον* conj. RConst., *φιλόκοπρον* Bod. quod confirmant Geopon. 12, 9. Dein *ἀναδύεται* ac *ἐνδῦς* correxere Scal. et RC. Quae scripsit Scb. *φιλόκοπρον γὰρ τὸ θηρίον ἀναδύεται καὶ ἐνδῦσα κ.* sic intelligi voluit: *cum enim bestiola stercoris sit amans insinuat se* vel *emergit*. Sed non vidit ibi participio *ὄν* opus esse, qua de re monui ad 1, 1, 3 ac saepius. Si *ἀναδύεται* verum est cogites bestiolam istam in ipsa terra degere: radicibusque nocivam esse, e qua in stercoris acervum terrae impositum emergere possit. Magnopere vero offendo in feminino *ἐνδῦσα* quod sic post neutrum positum vix tolerandum. Melius sic procederent: *φιλόκοπρον δὲ τὸ θηρίον· ἀναδύται οὖν καὶ — ἐνδῦσα κοιμᾶται ἐν τῇ κ.* Ceterum *κοιμ. ἐν τῇ κ.* UM Ald. Scb.; *κοιμ. καὶ ἐ. τ. κ.* H.; *κοιμ. ὡς καὶ ἐ. τ. κ.* St.

θηρεύειν] *οὕτως* add. St.

ψύλλας ἀρκεῖ τὸ] dedi de conj.; *ψύλλας πρός τὸ* Ald. H.; *ψ. πρόσφορον τὸ* mBas. et St. sed omisso *τὸ*; *ψ. βοηθεῖ τὸ* Scb.

κεῖ τὸ ἐπισπείρειν ὀρόβους. πρὸς δὲ τὸ μὴ γίνεσθαι καμπὰς οὗ φασιν εἶναι φάρμακον οὐδέν. ὑπὸ δὲ τὸ ἄστρον ὤκιμον μὲν λευκαίνεται κορίαννον δὲ ἁλ-
5.6 H. μᾷ. τὰ μὲν οὖν συμβαίνοντα διὰ τούτων θεωρητέον. τῶν δὲ σπερμάτων τὰ μέν ἐστιν ἰσχυρότερα τὰ δὲ ἀσθενέστερα πρὸς διαμονήν· ἰσχυρότερα μὲν οἷον κορίαννον τεύτλιον πράσον κάρδαμον νάπυ εὔζωμον θύμβρα ἁπλῶς τὰ ὁριμέα πάντα· ἀσθενέστερα δὲ γήθυον, τοῦτο γὰρ οὐκ ἐθέλει μένειν, ἀδράφαξυς ὤκιμον κολοκύντη σίκυος, ἁπλῶς τὰ θερινὰ τῶν χειμερινῶν μᾶλλον. διαμένει δὲ οὐδὲν πλέον τεττάρων ἐτῶν ὥστε ἔτι χρήσιμον εἶναι πρὸς τοὺς σπόρους· ἀλλὰ διένα μὲν βελτίω, τὰ δὲ τριένα οὐδὲν χείρω, τὸ δ' ὑπερτεῖνον ἤδη χεῖρον.
δὲ κάτω μᾶλλον] Ald. Edd. o.; *δὲ κάτω* UM; *δὲ μᾶλλον* U* Sch.syll.; *purgat inferius* G.

9. *ὁ μύρρινος*] Ald. Edd. o.; *ὁ* om. UM; *μύρηνος* M; *ὁ μύρηνος* P; *οἱ μύρρινοι* U*.

ἀπ' ἄκρου] UM U* Sch.syll.; *ἐπ' ἄκρου* Ald. Edd. o.

ἐπὶ τὴν γῆν] UM Sch.; *ἐπὶ γῆς* U*; *ἐπὶ γῆν* Ald. H. St.

σπιθαμιαῖα] *κληματιαῖα* U*.

πεφυκότα — ῥίζης] Haec verba transponenda esse post *σπιθαμιαῖα* censet Sch. comparavitque C. pl. 4, 6, 9. Sed equidem inde causam repeto loco ea suo tenendi.

αἱ κριθαὶ] Ald. Edd. o.; *αἱ* om. UMU*.

καὶ ξηραίνοντες καὶ] UM Sch.syll.; *ξηραίνοντες δὲ καὶ* Ald. Edd. o. — Deinceps de conjectura addidi *δὲ* post *αὐτὸν*.

πλύναντες ἐν ὕδατι καὶ πάλιν ξηράναντες διδόασι πιεῖν συμμιγνύντες δύο μέρη τῆς μελαίνης μήκωνος, τὸ δὲ συναμφότερον ὅσον ὀξύβαφον· καθαίρει δὲ φλέγμα κάτω· ἐὰν δὲ τὸ κάρυον αὐτὸ διδῶσι τρίψαντες ἐν οἴνῳ γλυκεῖ διδόασιν ἢ ἐν σησάμῳ πεφρυγμένῳ κατατραγεῖν. ταῦτα μὲν οὖν τοῖς τε φύλλοις καὶ τοῖς
10. ὀποῖς καὶ τοῖς καρποῖς χρήσιμα. τῶν δὲ λιβανωτίδων, δύο γάρ εἰσιν, ἡ μὲν ἄκαρπος ἡ δὲ κάρπιμος, ἡ μὲν καὶ τῷ καρπῷ καὶ τῷ φύλλῳ χρησίμη ἡ δὲ μόνον τῇ ῥίζῃ. καλεῖται δὲ ὁ καρπὸς κάχρυ. ἔχει δὲ αὕτη τὸ μὲν φύλλον ἐοικὸς σελίνῳ ἐλείῳ μεῖζον δὲ πολύ, καυλὸν δὲ μέγεθος πήχεως ἢ μείζω, ῥίζαν δὲ μεγάλην καὶ παχεῖαν λευκὴν ὄζουσαν ὥσπερ λιβανωτοῦ, καρπὸν δὲ λευκὸν τραχὺν προμήκη· φύεται δὲ μάλιστα ὅπου ἂν αὐχμηρὰ χωρία ᾖ καὶ πετρώδη· χρησίμη δὲ ἡ μὲν ῥίζα πρός τε τὰ ἕλκη καὶ πρὸς τὰ γυναικεῖα πινομένη ἐν οἴνῳ αὐστηρῷ μέλανι· ὁ δὲ καρπὸς πρός τε τὰς στραγγουρίας καὶ πρὸς τὰ ὦτα καὶ ἄργεμα καὶ πρὸς ὀφθαλμίας καὶ ὥστε γάλα γυναιξὶν ἐμποιεῖν. ἡ δὲ ἄκαρ-
11. πος ἔχει τὸ φύλλον ὅμοιον θριδακίνης τῆς πικρᾶς τραχύτερον δὲ καὶ λευκότερον, ῥίζαν δὲ βραχεῖαν. φύεται δὲ ὅπουπερ ἐρείκη πλείστη. δύναται δὲ ἡ ῥίζα καθαίρειν καὶ ἄνω καὶ κάτω· τὸ μὲν γὰρ πρὸς τὴν βλάστην ἄνω τὸ δὲ πρὸς τὴν γῆν κάτω· κωλύει δὲ καὶ εἰς ἱμάτια τιθεμένη τοὺς σῆτας. συλλέγεται δὲ περὶ πυροτομίας.

13 H. 14 St. **Cap. XII.** Χαμαιλέων δὲ ὁ μὲν λευκὸς ὁ δὲ μέλας· αἱ δὲ δυνάμεις τῶν ῥιζῶν καὶ αὐταὶ δὲ αἱ ῥίζαι τοῖς εἴδεσι διαφέρουσαι. τοῦ μὲν γὰρ λευκὴ καὶ παχεῖα καὶ γλυκεῖα καὶ ὀσμὴν ἔχουσα βαρεῖαν· χρήσιμον δέ φασι πρός τε τοὺς

πλύναντες] *πλατύναντες* P.

ἐν ὕδ. — πάλιν] om. UM, seclusit Sch. syll. G.: *Fructus nux appellatur: demetitur cum ordeum turgescit et exiccatus purgatusque datur elotus cum pap.* etc. — Dein *ξηραίνοντες* H.

πιεῖν] Ald. Edd. o.; *πῇ* UM.

ἢ ἐν σ.] Ald. Edd. o.; *ἐν* om U*.

10 *ἡ μὲν*] UU*P; *ἡ δὲ* M; *καὶ ἡ μὲν* Ald. Edd. o.

χρησίμη] U* H. St.; *χρησίμῃ* Ald.; *χρήσιμος* UM Sch.

κάχρυ] U*; *κάχρυς* Ald. Edd. o.; *canchris* G. Cf. Dioscor. 3, 87. 88.

καυλὸν] *καυλοῦ* U*.

πήχεως] P; *πήχεος* U* Ald. Edd. o. Deinceps *ἢ* om. U*; *ὅσον πήχεως καὶ μείζονα* Dioscor. l. l.

λιβανωτοῦ] *λιβανωτὸν* U*.

αὐχμηρὰ χωρία ᾖ καί] Ald. Edd. o.; *ᾖ* om. U*; *αὐχμηρὸς χωρία ᾖ καὶ* M.

πρὸς τὰ ὦτα] *πρὸς τὰ* om. M.

ἔχει τὸ φύλλον ὅμοιον] Ald. Edd. o.; *ἔχει φύλλον οἷον* U*; *ἔχει τὸ φύλλον οἷον* Sch.syll. — Dioscor. l. l. *Θεόφραστος δὲ ἱστορεῖ μετὰ τῆς ἐρείκης λιβανωτίδα θριδακι ἀγρίᾳ τῇ πικρᾷ ὅμοια φύλλα ἔχουσαν φύεσθαι.*

ὅπουπερ ἐρείκη] sic cum Hermolao, Cornar. ad Diosc. l. l., Dalec. H. pl. 1 p. 763. Sch. in Comm.; *ὅπουπερ εἴρηται* Ald. H. St. G.; *ὅπου ἐρείκη* Sch.cont.; *ὁπότε ἐρείκη* U* Sch.syll.

ἡ ῥίζα καθ. κ. ἄ. κ. κ.] UM Sch.; *καθ. ἡ ῥίζα κ. ἄ. κ. κ.* Ald. Edd.; *καθ. ἡ ῥίζα κ. κάτω κ. ἄνω* U*.

βλάστην] UM Sch.syll.; *βλάστησιν* Ald. Edd. o. — Deinceps *ἄνω* om. UM.

σῆτας] Ald. Edd. o.; *σῆς* U* ut refert Sch. in Auct. p. 74, sed in Syll. p. 32. *σεῖς* ex eodem Urbinate posuit, quod notavit Lobeck. Paral. G. Gr. p. 81. Laudat Apollon. Hist. Mir. s. 47, ubi *σῆτας* est.

Cap. XII.

χαμαιλέων] *χαμαιλαίων* M.

διαφέρουσαι] dedi de conj.; *διαφέρει* U; *διαφέρουσι δὲ* M; *διάφοροι* Ald. Edd. o. — Deinceps *τὸ* M.

παχεῖα καὶ γλυκεῖα] UMU* Sch.syll.; *γλ. κ. παχ.* Ald. Edd. o.

χρήσιμον] U*; *χρήσιμα* UM; *χρησίμη* Ald. Edd. o.

πρός τε] U Sch.syll.; *τε* om. Ald. Edd. o.

ροῦς ὅταν ἐψηθῇ κατατμηθεῖσα καθάπερ ῥαφανὶς ἐνειρομένη ἐφ' ὁλοσχοίνου, καὶ πρὸς τὴν ἕλμινθα τὴν πλατεῖαν ὅταν ἀσταφῖδα προφάγῃ πίνειν ἐπιξύοντα ταύτην ὅσον ὀξύβαφον ἐν οἴνῳ αὐστηρῷ. ἀναιρεῖ δὲ καὶ κύνα καὶ σῦν· κύνα μὲν ἐν ἀλφίτοις ἀναφυραθεῖσα μετὰ ἐλαίου καὶ ὕδατος, σῦν δὲ μετὰ ῥαφάνων μεμιγμένη τῶν ὀρείων. γυναικὶ δὲ δίδοται ἐν τρυγὶ γλυκείᾳ ἢ ἐν οἴνῳ γλυκεῖ. καὶ ἐὰν βούληταί τις ἀσθενοῦντος ἀνθρώπου διαπειρᾶσθαι εἰ βιώσιμος λούειν κελεύουσι τρεῖς ἡμέρας, κἂν περιενέγκῃ βιώσιμος. φύεται δὲ ὁμοίως παντα-χοῦ καὶ ἔχει τὸ φύλλον ὅμοιον σκολύμῳ μεῖζον δέ· αὐτὸ δὲ πρὸς τῇ γῇ τὴν κεφαλὴν ἔχει ἀκανοειδῆ μεγάλην, οἱ δ' ἄκανθαν καλοῦσιν. ὁ δὲ μέλας τῷ 2.
μὲν φύλλῳ παρόμοιος, σκολυμῶδες γὰρ ἔχει πλὴν ἔλαττον καὶ λειότερον, αὐ-τὸς δ' ὅλος ἐστὶν ὥσπερ σκιάδιον, ἡ δὲ ῥίζα παχεῖα καὶ μέλαινα διαρραγεῖσα δὲ ὑπόξανθος. χωρία δὲ φιλεῖ ψυχρὰ καὶ ἀργά· δύναται δὲ λέπραν τε ἐξελαύ-νειν ἐν ὄξει τριβόμενος καὶ ξυσθεὶς ἐπαλειφόμενος καὶ ἀλφὸν ὡσαύτως· ἀναιρεῖ δὲ καὶ τοὺς κύνας. μήκωνες δ' εἰσὶν ἄγριαι πλείους· ἡ μὲν κερατῖτις καλου- 3.
μένη μέλαινα· ταύτης τὸ φύλλον ὥσπερ φλόμου τῆς μελαίνης ἧττον δὲ μέλαν, τοῦ δὲ καυλοῦ τὸ ὕψος ὡς πηχυαῖον, ῥίζα δὲ παχεῖα καὶ ἐπιπόλαιος, ὁ δὲ καρ-πὸς καμπύλος ὥσπερ κεράτιον· συλλέγεται δὲ περὶ πυροτομίας. δύναται δὲ

καθάπερ] UM Sch. syll.; *ὥσπερ* Ald. Edd. o.

ἐνειρομένη ἐφ' ὁλοσχοίνου] Sch.; *ἐνειλομένη ἐφ' ὑλ.* Ald. H.; *ἐνηλωμένη* — St.; *ἐνειρομενησε πολισχοινου* U*. — Dein *ἕλμινθα* U*. — *ἐὰν* St.

προφάγῃ] *προφανειν* U*; *προσφαγών* P. — Dein *δεῖ δὲ πίνειν* St.

ὅσον] *οἷον* UM; *acceptabuli mensura* G. *ὀξύκωφον* M.

ἀναιρεῖ] *ἀναιρεῖν* P.

σῦν] *ὗν* U*P bis.

μετὰ ῥαφάνων μεμιγμένη] U*; *μετὰ ῥαφάνων μιγνυμένη* Ald. H. St. Sch. syll. (ubi *ῥαφάρων* Ald. Cam.); *ῥαφάνου μετά τινος μιγνυμένη* UM; *μετὰ ῥαφάνου τινὸς μιγνυμένη* Sch. cont. — *ὀρίων* M.

γυναικὶ — γλυκεῖ] Haec om. G., Sch in Comm. retracta ponere jubet post *ἐψηθῇ* — *γλυκείᾳ ἢ ἐν* P; *γλ. καὶ ἐν* Ald. Edd. o.; *γλυκείᾳ ἐν* U*.

διαπειρᾶσθαι] U Sch.; *διαπείρασθαι* M; *διαπειράσασθαι* Ald. Edd. Pro *ἐὰν* habet *ὃ ἄν* U*.

βιώσιμος] Ald. Edd. o.; *ζώσιμος* U* Sch. syll.

κἂν περιεν.] UMP Sch.; *κἄνπερ περιεν.* Ald. Edd.

τὸ φύλλον] *τὸ* om. PU*. — *σκολύχῳ* M.

αὐτὸ δὲ πρὸς] U* Ald.; *αὐτὸς δὲ π.* Sch.

τὴν κεφαλὴν] *τὴν δὲ κεφ.* Ald. Edd.; Sch. *δὲ* seclusit. Sed suspicor *τινὰ κεφαλὴν* fuisse.

ἀκανοειδῆ] Sch. syll.; *κονοειδῆ* U*; *κωνοειδῆ* mP; *ὁμοίαν ἀκανῷ* P Ald. Edd. o. G.

ἄκανθαν] U* mPar. Sch. syll. Sic etiam Dioscor. 3, 10; *ἄκανον* P Ald. Edd. o. *Unde quidam acanum eam vocarunt* G.

2. *σκολυμῶδες*] U*M St. Sch.; *σκολυκῶδες* Ald. H.

χωρία δὲ φιλεῖ] UM Sch.; *φιλεῖ δὲ χωρία* Ald. Edd.

ἀργά] *humida* G.

λέπραν τε ἐξ.] UM Sch.; *τε* om. U* Ald. Edd.

ἐν ὄξει] *ἐνόξει* U*.

ξυσθεὶς] UMP Sch.; *τριβεὶς* Ald. Edd. (Sed M *καὶ* omittere dicitur?)

κύνας] *κυνορραίστας* conj. Reines. ad Plin. 22 s. 21.

3. *εἰσὶν ἄγριαι*] U* Ald. H. St. Sch. syll.; *εἰσὶν αἱ ἀγρ.* UM Sch. cont.

καλουμένη μέλαινα] UM; *καλ. ἡ δὲ μελ.* Ald. Edd. o. Equidem hic de una specie sermonem esse conseo, vellem tamen *ἤ* interpositum; Schneider duo statuit. In syll. (*ἡ δὲ ἑτέρα*) scribere jubet.

ὥσπερ] UU*; deinceps *γλοιὸς οὐ τῆς μέλ.* U*.

τοῦ — πηχυαῖον] *καυλοῦ πηχυαῖον τὸ ὕψος* U*.

παχεῖα] U* Sch. syll. et Dioscor. unde cum Bod. dedit St.; *βραχεῖα* Ald. H.

ὥσπερ κεράτιον] scripsi de conj.; *ὥσπερ κέρας* UM Sch.; *ὥσπερ τῶν κερατίων* U* Ald. Edd.; *ut comicula figurantur* G.

καθαίρειν κοιλίαν, τὸ δὲ φύλλον ἄργεμα προβάτοις ἀφαιρεῖν. φύεται δὲ
4. παρὰ θάλατταν οὗ ἂν ᾖ πετρώδη χωρία. ἑτέρα δὲ μήκων ῥοιὰς καλουμένη παρομοία κιχορίῳ τῷ ἀγρίῳ, δι' ὃ καὶ ἐσθίεται· ἐν τοῖς ἀρουραίοις δὲ φύεται, μάλιστα ἐν ταῖς κριθαῖς· ἄνθος δ' ἔχει ἐρυθρὸν κωδύαν δ' ὅσην ὄνυχα τοῦ δακτύλου. συλλέγεται δὲ πρὸ τοῦ θερισμοῦ τῶν κριθῶν ἐγχλωροτέρα δὲ μᾶλλον.
5. καθαίρει δὲ κάτω. ἑτέρα δὲ μήκων ἡρακλεία καλεῖται τὸ μὲν φύλλον ἔχουσα οἷον στρουθὸς ᾧ τὰ ὀθόνια λευκαίνουσι, ῥίζαν δὲ λεπτὴν ἐπιπόλαιον, τὸν δὲ καρπὸν λευκόν. ταύτης ἡ ῥίζα καθαίρει ἄνω· χρῶνται δέ τινες πρὸς τοὺς ἐπι-
15 St. λήπτους ἐν μελικράτῳ. ταῦτα μὲν οὖν ὥσπερ ὁμωνυμίᾳ τινὶ συνείληπται.

Cap. XIII. Τῶν δὲ ῥιζῶν καὶ ἐν τοῖς χυμοῖς αἱ διαφοραὶ καὶ ἐν ταῖς ὀσμαῖς· αἱ μὲν γάρ εἰσι δριμεῖαι αἱ δὲ πικραὶ αἱ δὲ γλυκεῖαι, καὶ αἱ μὲν εὔοδμοι αἱ δὲ βαρεῖαι. γλυκεῖα μὲν ἥ τε νυμφαία καλουμένη· φύεται δ' ἐν ταῖς λίμναις καὶ ἐν τοῖς ἑλώδεσιν οἷον ἔν τε τῇ Ὀρχομενίᾳ καὶ Μαραθῶνι καὶ περὶ Κρήτην· καλοῦσι δ' αὐτὴν οἱ Βοιωτοὶ μαδωνάϊν καὶ τὸν καρπὸν ἐσθίουσιν. ἔχει δὲ τὸ φύλλον μέγα ἐπὶ τοῦ ὕδατος· εἶναι δέ φασιν ἴσχαιμον ἐὰν τρίψας τις ἐπὶ τὴν
2. πληγὴν ἐπιθῇ· χρησίμη δὲ καὶ πρὸς δυσεντερίαν πινομένη. γλυκεῖα δὲ καὶ ἡ σκυθική· καὶ ἔνιοι δὲ καλοῦσιν εὐθὺς γλυκεῖαν αὐτήν· γίνεται δὲ περὶ τὴν Μαι-

ἄγρεμα] ἄργεμον U*.

περὶ πυρ.] καὶ antepon. M.

ἀφαιρεῖν] UM Sch.syll.; ἀφαιρεῖ Ald. Edd. o.

παρὰ θάλ.] UM; π. τὴν θαλ. Ald. Edd. o.

4. ῥοιάς] Ald. Edd. o.; ῥυὰς U.

παρομοία] Ald. Edd. o.; παρόμοιον UM; παρομοίαι U*.

κιχορίῳ] U; κιχωρίῳ M Ald. Edd. Deinceps τῷ ἀγρίῳ om. U*, seclusit Sch.syll.

ἀρουραίοις] Salm. Ex. 583 ἀρούραις scribere jubet.

ἔχει] om. U*.

κωδύαν δ' ὅσην ὀν.] Ald. Edd. o. (κωδέαν St.); δ' om. UM; κωδύαν θ' ὅσην τὸν ὀν. U*.

πρὸ] πρὸς M. Verba ἐγχλωρότερα δὲ μᾶλλον sedem alienam occupasse et post ἀγρίῳ posita fuisse putat Sch.

5. οἷον] ὥσπερ U*. — στρουθὸς U* Ald. Edd. o.; στρουθοῦ M1; στρούθος M2.

λεπτὴν] U* Sch.syll. et Dioscor. 4, 67, ubi Saracenus ex hoc Theophrasti loco et Plin 20 s. 79 λευκὴν corrigebat; λευκὴν Ald. Edd. o.

ταύτης — ἄνω] UM Sch.; καθ. ἄνω ταύτης ἡ ῥ. Ald. H. St.; καθαίρει δὲ ἄνω ceteris omissis P.

οὖν] om. UM.

ὁμωνυμίᾳ τινὶ] dedi e conj.; Scilicet ὁμώνυμά τινα Ald. Edd. o.; τινὶ U*, unde comparanti mihi libri 7 extr. ὁμωνυμίᾳ scribendum esse visum.

Cap. XIII.

χυμοῖς] corr. Sch.; χυλοῖς Ald. Edd.

εὔοδμοι] UU*; εὔοδοι M; εὔοσμοι Ald. Edd. o.

βαρεῖαι] ὀάριαι U*.

νυμφαία] Ald. Edd. o.; νυμφαῖα U*.

μαδωνάϊν] UM Ald. Sch.syll.; madonain G.; μαδύνῑ U*; μαδωνίαν Sch.cont. Salm. Exerc. p. 683 μάδον reponi vult, quam vocem habent Hesych. et Dioscor. Parabil. 1, 178. Plinii (25, 7 s. 37) libri inter madon et mallon ambigunt.

ἴσχαιμον] ἔσχαιμον H.

πρὸς δυσεντερίαν] U*; πρὸς δυσεντερίας UM Sch.syll.; πρὸς τὰς δυσεντερίας Ald. Edd. o.

8. σκυθική] συνθική M.

καὶ ἔνιοι δὲ] UM Sch.; καὶ ἔνιοί γε U* Ald. H. St.

καλοῦσιν εὐθὺς γλυκεῖαν αὐτήν] U*P Sch.syll.; καλοῦσιν αὐτὴν εὐθὺ γλυκεῖαν αὐτὴν Ald. H. et UM sed hi omisso αὐτήν postero; καλοῦσιν αὐτὴν γλυκύρριζαν cum Dalec. St. Cf. Salm. Ex. 123.

ῶτιν· χρησίμη δὲ πρός τε τὰ ἄσθματα καὶ πρὸς τὴν βῆχα ξηρὰν καὶ ὅλως τοὺς περὶ τὸν θώρακα πόνους· ἔτι δὲ πρὸς τὰ ἕλκη ἐν μέλιτι· δύναται δὲ καὶ τὴν δίψαν παύειν ἐάν τις ἐν τῷ στόματι ἔχῃ· δι' ὃ ταύτῃ τε καὶ τῇ ἱππακῇ διάγειν φασὶ τοὺς Σκύθας ἡμέρας καὶ ἕνδεκα καὶ δώδεκα. [Ἡ δὲ ἀριστολοχία τῇ 3.
ὀσφρήσει μὲν εὔοδμος τῇ δὲ γεύσει πικρὰ σφόδρα τῇ χροιᾷ δὲ μέλαινα. φύεται δὲ ἐν τοῖς ὄρεσιν ἡ βελτίστη· φύλλον δὲ ἔχει προσεμφερὲς τῇ ἀλσίνῃ πλὴν στρογγυλότερον· χρησίμη δὲ πρὸς πολλά, καὶ ἀρίστη πρὸς κεφαλῆς ἀγαθὴ δὲ καὶ πρὸς τὰ ἄλλα ἕλκη, καὶ πρὸς τὰ ἑρπετὰ καὶ πρὸς ὕπνον καὶ πρὸς ἕτερα. τὰ μὲν οὖν προσάγειν κελεύουσιν ἐν ὕδατι ἀναδεύσαντα καὶ καταπλάττοντα, τὰ δὲ ἄλλα εἰς μέλι ἐνξύσαντα καὶ ἔλαιον· πρὸς δὲ τὰ τῶν ἑρπετῶν ἐν οἴνῳ ὀξίνῃ πίνειν καὶ ἐπὶ τὸ ὄῆγμα ἐπιπλάττειν· εἰς ὕπνον δὲ ἐν οἴνῳ μέλανι αὐστηρῷ κνίσαντα· ἐὰν δὲ αἱ μῆτραι προπέσωσι τῷ ὕδατι ἀποκλύζειν.] αὗται μὲν οὖν 4.
γλυκεῖαι. ἄλλαι δὲ πικραί, αἱ δὲ βαρεῖαι τῇ γεύσει. γίνονται δέ τινες τῶν γλυκειῶν αἱ μὲν ἐκστατικαὶ καθάπερ ἡ ὁμοία τῷ σκολύμῳ περὶ Τέγεαν ἣν καὶ Πάνδειος ὁ ἀνδριαντοποιὸς φαγὼν ἐργαζόμενος ἐν τῷ ἱερῷ ἐξέστη. αἱ δὲ θανατηφόροι καθάπερ αἱ περὶ τὰ μέταλλα ἐν τοῖς ἔργοις τοῖς ἐν Θρᾴκῃ· κούφη δὲ καὶ ἡδεῖα πάνυ τῇ γεύσει καὶ τὸν θάνατον ὑπνώδη τινὰ ποιοῦσα καὶ ἐλαφρόν.

ἄσθματα] Ald. Edd. o.; *anhelitus* G.; *σπάσματα* U*. Idem fuit apud Plin. 25 s. 43, correctum a Pintiano et Salmasio l. l.

τὴν βῆχα ξηρὸν] UM et omisso articulo U* Sch.syll.; *βῆχα ξηρὸν* Ald. Edd. o.

τὴν δίψαν] *τὴν* om. U.

3. *ἡ δὲ ἀριστολοχία —*] Haec tota paragraphus redit capite extremo magna cum varietate; hic sedem alienam occupasse clausula ostendit haec excipiens *αὗται μὲν οὖν γλυκεῖαι*, cum radix aristolochiae amara sit. Interim hic ea verba, ubi libri omnes ponunt, exscripsi uncis seclusa.

ὀσφρήσει] *ὀσφρώσει* UM.

εὔοδμος] *εὔοσμος* U*.

τῇ δὲ γεύσει] *τῇ γεύσει δὲ* M.

ἀλσίνῃ] *τῇ κισσῷ* auctore Bod. St.; *ἐλξίνῃ* conj. Dodon.

κεφαλῆς] correxi; *κεφαλὴν* Ald. Edd., quod propter sequentia ferri nequit. Infra est *κεφαλόθλαστα*.

τὰ ἑρπ.] UMP Sch.; *τὰ* om. Ald. Edd.

ἕτερα] Verisimile fit comparato cap. 20 scriptum hic fuisse *ὑστέραν*. — Verba *καὶ πρὸς ὕπνον — κελεύουσιν* om. P.

τὰ — κελεύουσιν] om. U*. Orationem hiulcam esse animadvertit Sch.; desiderantur fere haec: *πρὸς μὲν οὖν τὰ τῆς κεφαλῆς — πρὸς δὲ τὰ ἄλλα*; *ulceribus capitis adhibere praecipiunt — reliquis* G.; *ὕπνον. καὶ πρὸς κεφαλὴν μὲν οὖν* St.

ἐνξύσαντα] U* Sch.syll.; *ἐγξύσαντα* Ald. Edd. o.

πρὸς δὲ τὰ] om. U* ac pergit *τῶν δὲ ἑρπετῶν ἐν ὀξίνῃ πίνειν*; *contra ictus serpentium* G.

ἐπιπλάττειν] marg.P Ald. H. Sch.; *ἐπιπάττειν* UMP G. et St. qui *ἢ καὶ ἐπὶ* scripsit.

κνίσαντα] corr. Sch., quo melius nihil excogitavi nisi *κνίσαι* velis scribere; *κνίσας* U* Ald. Edd.

προπέσωσι] U* Sch.; *προπέπωσι* UM; *προσπέσωσι* Ald. H. St.; *si vulva procederit* G.

4. *ἄλλαι*] *αἱ* P.

ἀποκλύζειν] *ἀποκλύειν* UM.

γίνονται] *γίγνονται* U*.

τῶν γλυκ.] *μὲν* interponunt UM; malim *καὶ τῶν γλ.*

τῷ σκολ.] UM Sch.; *τῇ σκ.* U* Ald. H. St.

περὶ Τ.] UM; *ἡ περὶ Τ.* Ald. Edd. o.; *ἡ* seclusit Sch.syll.

Πάνδειος] UM Sch.; *Πάνδιος* P; *Πάντιος* Ald. Edd. Schn. comparat *Παντίας* apud Pausan. 6, 3, 4. 6, 9, 1. 6, 14, 5 (2, 22, 8. 5, 17).

ἐξέστη] *ἐξέστηι* U*, qui deinceps *αἱ δὲ θανατηφόροι* omittit. *θανατοφόροι* M.

αἱ περὶ] U* Ald. Edd.; *ἡ περὶ* correxit Sch.

ἐν τοῖς ἔργοις τοῖς ἐν] U* Sch.syll.; *τὰ ἐν τῇ* Ald. Edd.

ἔχουσι δὲ καὶ τοῖς χρώμασι διαφορὰς οὐ τῷ λευκῷ καὶ μέλανι καὶ ξανθῷ μό-
5. 14 H. νον ἀλλ' ἔνιαι καὶ οἰνοχρῶτες, αἱ δ' ἐρυθραὶ καθάπερ ἡ τοῦ ἐρευθεδανοῦ. ἡ
16 St. δὲ τοῦ πενταφύλλου ἢ πενταπετοῦς, καλοῦσι γὰρ ἀμφοτέρως, ὀρυττομένη ἐρυθρὰ ξηραινομένη δὲ μέλαινα γίνεται καὶ τετράγωνος· ἔχει δὲ τὸ φύλλον ὥσπερ οἶναρον μικρὸν δὲ καὶ τὴν χροιὰν ὅμοιον· καὶ αὐξάνεται καὶ φθίνει ἅμα τῇ ἀμπέλῳ· πάντα δὲ πέντε τὰ φύλλα δι' ὃ καὶ ἡ προσηγορία· καυλοὺς δὲ ἐπὶ γῆν
6. ἵησι λεπτοὺς καὶ κνήμας ἔχει. τὸ δὲ ἐρευθεδανὸν φύλλον ὅμοιον κιττῷ πλὴν στρογγυλότερον· φύεται δ' ἐπὶ γῆς ὥσπερ ἄγρωστις, φιλεῖ δὲ παλίσκια χωρία. οὐρητικὴ δὲ, δι' ὃ καὶ χρῶνται πρὸς τὰ τῆς ὀσφύος ἀλγήματα καὶ πρὸς τὰς ἰσχιάδας. ἔνιαι δὲ ἰδιόμορφοί τινες ὥσπερ ἥ τε τοῦ σκορπίου καλουμένου καὶ καὶ ἡ τοῦ πολυποδίου. ἡ μὲν γὰρ ὁμοία σκορπίῳ καὶ χρησίμη δὲ πρὸς τὴν πληγὴν αὐτοῦ καὶ πρὸς ἄλλ' ἄττα. ἡ δὲ τοῦ πολυποδίου δασεῖα καὶ ἔχουσα κοτυληδόνας ὥσπερ αἱ τοῦ πολύποδος πλεκτάναι. καθαίρει δὲ κάτω· κἂν περιάψηταί τις οὔ φασιν ἐμφύεσθαι πολύπουν. ἔχει δὲ φύλλον ὅμοιον τῇ περιβλέπτῃ τῇ μεγάλῃ καὶ φύεται ἐν ταῖς πέτραις.

Cap. XIV. Πασῶν δὲ τῶν ῥιζῶν αἱ μὲν πλείω χρόνον αἱ δὲ ἐλάττω διαμένουσιν. ὁ μὲν γὰρ ἑλλέβορος καὶ τριάκοντα ἔτη χρήσιμος, ἡ δὲ ἀριστολοχία πέντε ἢ ἕξ, χαμαιλέων δὲ ὁ μέλας τετταράκοντα, κενταυρὶς δὲ δέκα ἢ δώδεκα· πίειρα δὲ ἡ ῥίζα καὶ πυκνή· πευκέδανον δὲ πέντε ἢ ἕξ, ἀμπέλου δὲ ἀγρίας ἐνι-

καὶ τοῖς] U* Ald. Edd.; *καὶ ἐν τοῖς* UM Sch.

οὐ τῷ] *οὕτω* M.

μόνον] om. UM. — *ἀλλ' ἔνιαι* om. G.

οἰνοχρῶτες] *οἴνῳ χρῶντες* M; *ceruleae* G.

αἱ δὲ] UM Sch.; *καὶ* U* Ald. G. Edd.

ἐρευθεδάνου] U* Sch. syll.; *ἐρευθεδάνου* Ald. Edd.; *ἐρευθοδάνου* Sch. cont. Vide Cur. sec. p. 479.

5. *πενταπετοῦς*] corr. Sch.; *πενταπέτου* U Ald. Edd.; *πεντεπέτου* MU*; *Quinquefoliae sive quinquepenna hoc et nomine appellantur* G.; *πενταπετὶς* est etiam apud Anonymum de virtutt. herbar. Fabr. Bibl. gr. II. p. 639.

ἐρυθρὰ] *μὲν* anteposuit de suo Sch.

γίνεται καὶ] *δὲ* interserit U*. — *τετράγονος* U*.

τὸ φύλλον] UM; *τὸ μὲν φ.* Ald. Edd. o. — *οἰνάρου* conj. Dalec. H. pl. II. p. 1264.

γῆν] U Sch.; *τὴν* M; *γῆς* Ald. Edd.

καὶ κνήμας ἔχει] U*; *καὶ κν. ἔ. πυκνάς* Ald. Edd. o.; *καὶ κνίκας ἔ. π.* UM; *et crebris internodis constat* G. Equidem internodia dici *κνήμας* haud credo; ea alibi *μεσογονάτια* atque nodi ipsi *γόνατα* vocantur, quod bene habet: atque suspicor fere *καὶ διηνεκεῖς* scriptum fuisse.

6. *ἐρευθεδανὸν*] U* Sch.syll.; *ἐρευθέδανον* Ald.; *ἐρευθόδανον* UM Sch.cont. Post h. v. *καὶ* addit Ald. H., mutatum in *ἔχει* a St., omissum ab UMU* Sch. — Deinceps *κυκλιδὸν ὅμοιον ὤχρῳ πλὴν* St. praeeunte Bodaeo.

κιττῷ] *κισθῷ* conj. Dalec.

δὲ παλίσκια] U*P; *δὲ καὶ παλίσκια* Ald. Edd.; *δὲ παλίνσκια* M Sch. — *δὲ* ante *διὸ* om. M.

τὰς ἰσχιάδας] U* Sch.syll.; *τὰ τῆς ἰσχιάδος* Ald. Edd. o.

ἥ τε] *γε ἡ* U*. — Dein *καλουμένη* Sch. cont.

περιάψηταί τις, οὔ φασιν] corr. Sch.; *π. τις, ὡς φασιν* Ald. Edd.; *π. τίς φασιν* UM; *περιάψηται τίς ὥς φασιν* U*.

πολύπουν] extrema litera in litura U*.

ἔχει — ὅμοιον] *ἔχει δὲ* om. M ut refert Sch. in Comm. Sed „*δὲ φύλλον* om. cum M" idem in Auct. Verum mihi videtur *ἔχει δὲ* omittere UM ac pergere *φύλλον δὲ*.

περιδι] *πέρυγι* UM.

φύεται] *φύεσθαι* U*.

Cap. XV.

χρόνον] om. UM.

ἢ ἕξ] UMP G. Sch. *καὶ ἓξ* Ald. Edd.

χαμαιλέων] *χαμελαίων* U*.

δὲ ὁ μελ.] U* Sch.syll.; *δὲ ὅ γε μελ.* Ald. Edd. o.

δέκα ἢ] U*P; *δέκα καὶ* Ald. Edd. o.; om. UM G. Sch.syll.

αὐτὸν ἐὰν ἐν σκιᾷ ᾖ καὶ ἄπληκτος, εἰ δὲ μὴ σαπρὰ καὶ σομφώδης· ἄλλαι δὲ ἄλλους ἔχουσαι χρόνους. πάντων δὲ ὅλως τῶν φαρμάκων πλεῖστον διαμένει χρόνον τὸ ἐλατήριον καὶ τὸ παλαιότατον ἄριστον. ἰατρὸς δ' οὖν τις ἔλεγεν οὐκ ἀλαζὼν οὐδὲ ψεύστης ὡς εἴη παρ' αὐτῷ καὶ διακοσίων ἐτῶν θαυμαστὸν δὲ τῇ ἀρετῇ, δοῦναι δὲ αὐτῷ τινα δῶρον. αἰτία δὲ τῆς χρονιότητος ἡ ὑγρότης· διὰ 2.
γὰρ ταύτην καὶ ὅταν κόψωσι τιθέασι εἰς τέφραν ὑγρὸν καὶ οὐδ' ὡς γίνεται ξηρὸν ἀλλ' ἄχρι πεντήκοντα ἐτῶν σβέννυσι προσαγόμενον τοὺς λύχνους. φασὶ δὲ μόνον ἢ μάλιστα ὑπέρινον ἄνω ποιεῖν τῶν φαρμάκων· αὕτη μὲν οὖν ἰδιότης τις δυνάμεως. τῶν δὲ ῥιζῶν ὅσαι μὲν γλυκύτητά τινα ἔχουσι ξυμβαίνει θριπηδέ- 3.
στους γίνεσθαι χρονιζομένας, ὅσαι δὲ ὀριμεῖαι τοῦτο μὲν μὴ πάσχειν ἀμαυροῦσθαι δ' αὐτῶν τὰς δυνάμεις μανουμένων καὶ κενουμένων. τῶν δ' ἔξω θηρίων ἄλλο μὲν οὐδὲν ἅπτεται ῥίζης οὐδὲ μιᾶς ἡ δὲ σφονδύλη πασῶν· τοῦτο μὲν οὖν ἴδιον τῆς τοῦ ζώου φύσεως. πᾶσαν δὲ χείρω γίνεσθαι ῥίζαν ἐὰν ἐάσῃ τις τε- 4.
λειωθῆναι καὶ ἀδρυνθῆναι τὸν καρπόν· ὡσαύτως δὲ καὶ τὸν καρπὸν ἐὰν ὀπίσῃς τὴν ῥίζαν· ὡς ἐπὶ τὸ πολὺ δὲ αἱ φαρμακώδεις οὐκ ὀπίζονται, ὧν δ' ἂν τὰ σπέρματα φαρμακώδη αὗται δὴ ὀπίζονται· χρῆσθαι δέ τινές φασι μᾶλλον ταῖς ῥίζαις ὅτι ἰσχυρότερος ὁ καρπὸς ὥσθ' ὑπενεγκεῖν τὸ σῶμα. φαίνεται δὲ οὐ

εἰ — σομφώδης] om. U*.

σομφώδης] corr. Sch.; *σογχώδης* Ald. H.; *συμφυσώδης* e correctione Scaligeri St.

ἔχουσαι] U*, scil. *διαμένουσι*; *ἔχουσι* Ald. Edd. o.

εἴη παρ'] corr. Dalec. Sch.; *servare apud se* G.; *εἴπερ* Ald. Edd.

καὶ διακ.] UMP Sch.syll.; *καὶ* om. Ald. Edd.

θαυμαστὸν δὲ] U* Ald. Edd.; *δὲ* om. M Sch.

αὐτῷ τινα] UM Sch.syll.; *τινα αὐτῷ* Ald. Edd. o.; *δοῦναι τινὶ αὐτὸ* P.

2 *ὑγρὸν*] UM Vin. St. Sch. G.; *ὑγρὰν* Ald., om. U*, seclusit Sch.syll. Paullo ante *χρηστότητος — τιθέσιν* M.

οὐδ' ὥς] Ald. Sch.; *οὐδ' ὡς* H. St.; *οὕτω* U*.

γίνεται ξηρὸν] UM Sch.; *ξηρὸν γίνεται* Ald. Edd. et U* ubi *o* in *α* mutatum et *ν* lineis tribus transversim ductis deletum accentu tamen imminente.

ἐτῶν] om. UM.

λύχνους] corr. Scal. Vin. cod. Cas., H. St. Sch.; *lucernis admotum extinguit lumen* G.; *αὐχμοὺς* U* Ald.; *χρόνους* UM.

φασὶ δὲ μόνον ἢ μαλ.] sic Ald. H. (et UM?) sed omisso *ἤ*, St. Sch.; *ὥς φασι μόνον δὴ μαλ.* U* unde Sch.syll. *ὥς φασι. μόνον δ' ἤ μαλ. — ποιεῖ.*

ὑπέρινον] sic U* praeposito *καὶ*; e corr. Dalec. St. Sch.; *ὑπὲρ ἶνον* U; *ὑπερ ἴνων* Ald. H. — *φασὶ — φαρμάκων* om. G.

ποιεῖν] Ald. Edd. o.; *ποιεῖ* U* Sch.syll.

τῶν φαρμάκων] ponunt post *μάλιστα* St. Sch. Tenet hoc loco cum Ald. (UM?) etiam U*.

τις] U; *τῆς* Ald. Edd. o.

3 *τῶν δὲ ῥιζ.*] *τῶν δὲ τῶν ῥ.* UM.

ξυμβαίνει] UM Sch.; *συμβ.* Ald. U*.

οὐδὲ μιᾶς] U* Sch.syll.; *οὐδεμιᾶς* Ald. Edd. Sed videtur scribendum esse aut cum Linkio *οὐδεμιᾶς ὁριμείας* aut *ὁριμείας* in *οὐδεμιᾶς* locum substituendum.

σφονδύλη] *σφονδάλη* M. — *οὖν* om. M.

4 *πᾶσαν*] Abhinc usque ad *ὁμοίως σησάμῳ* i. e. quartam paragraphum om. U*.

ἐπὶ τὸ πολὺ] UM Sch.; *ἐπιπολὺ* Ald. Edd.

δὴ ὀπίζ.] *δὲ ὀπίζ.* Ald. Edd. o.; *δὲ καὶ ὀπ.* malunt Link et Sch.

δὲ — μᾶλλον] *δέ τινων μᾶλλόν φασι* St.

ὥσθ' ὑπεν.] *ἤ ὑπεν.* H. St. Cf. Matth. Gr. gr. maj. p. 843.

καθ' ὅλου τοῦτο ἀληθές· ἐπεὶ καὶ οἱ ἐν Ἀντικύρᾳ τοῦ σησαμώδους ἐλλεβόρου διδόασιν ὅτι ὁ καρπὸς ὅμοιος σησάμῳ.

15 H. 17 St. Cap. XV. Φαρμακώδεις δὲ δοκοῦσιν εἶναι τόποι μάλιστα τῶν μὲν ἔξω τῆς Ἑλλάδος οἱ περὶ τὴν Τυρρηνίαν καὶ τὴν Λατίνην, ἐν ᾗ καὶ τὴν Κίρκην εἶναι λέγουσιν· καὶ ἔτι μᾶλλόν γε ὡς Ὅμηρός φησι τὰ περὶ Αἴγυπτον· ἐκεῖθεν γὰρ τὴν Ἑλένην φησὶ λαβεῖν „ἐσθλὰ τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις Αἰγυπτίη· τόθι πλεῖστα φύει ζείδωρος ἄρουρα φάρμακα, πολλὰ μὲν ἐσθλὰ τετυγμένα πολλὰ δὲ λυγρά." ὧν δὴ καὶ τὸ νηπενθὲς ἐκεῖνό φησιν εἶναι καὶ ἄχολον ὥστε λήθην ποιεῖν καὶ ἀπάθειαν τῶν κακῶν. καὶ σχεδὸν αὗται μὲν ἐοίκασιν ὥσπερ ὑπὸ τῶν ποιητῶν ὑποδεδεῖχθαι. καὶ γὰρ Αἰσχύλος ἐν ταῖς ἐλεγείαις ὡς πολυφάρμακον λέγει τὴν Τυρρηνίαν· „Τυρρηνὸν γενεάν, φαρμακοποιὸν ἔθνος."

2. οἱ δὲ τόποι πάντες πως φαίνονται μετέχειν τῶν φαρμάκων ἀλλὰ τῷ μᾶλλον καὶ ἧττον διαφέρειν· καὶ γὰρ οἱ πρὸς ἄρκτον καὶ μεσημβρίαν καὶ οἱ πρὸς ἀνατολὰς ἔχουσι θαυμαστὰς δυνάμεις. ἐν Αἰθιοπίᾳ γὰρ ᾗ τοὺς ὀϊστοὺς χρίουσι ῥίζα τίς ἐστι θανατηφόρος. ἐν δὲ Σκύθαις αὕτη τε καὶ ἕτεραι πλείους αἱ μὲν παραχρῆμα ἀπαλλάττουσαι τοὺς προσενεγκαμένους, αἱ δ' ἐν χρόνοις αἱ μὲν

τοῦ σησαμώδους] corr. Dalec. Sch.; *τῆς σησαμώδους ἑλεβ.* Ald. H. et (*ἑλλεβ.*) St. In Comm. Sch. correxit *τὸ σησαμοειδὲς τοῦ ἑλλεβόρου*, in Auctar. *τοῦ σησαμώδους καλουμένου τοῦ ἑλλεβόρου* mavult. Quomodo scriptorum dicta de *helleboro* ac *sesamoide*, quae Sch. ad c. 9, 2 collegit, inter se ac cum Theophrasti dictis conciliari possint nondum video; nunc enim *sesamoides* audit hellebori nigri fructus, nunc est planta ab helleboro diversa. Fortasse autem, quoniam Anticyracis usu receptum erat fructum etiam hellebori, qui est sesamaceus, adhibere, accidit ut helleborum anticyracum, vel plantam ipsam vel medicamentum, helleborum sesamaceum appellarent. — Pro *ὅτι* existimo *οὗ* scriptum fuisse; *fructum sessamacei elebori dare solent, qui sessamae similis est* G.

Cap. XV.

δὲ δοκ. — Λατίνην] Sch.syll. et sic fere Ald. H. St., sed omisso *τῶν* et *τὴν* priore; ac U*, qui *τῶν* praebet et *περὶ τυραννίαν* habet; *δὲ δοκ. ἐ. τ. μάλιστα μὲν τῶν* etc. (cum Ald.) P; *δέ φασιν χώρας μάλ. μὲν ἔξω τῆς Ἑλ. τήν τε τυρρηνίαν κ. τ. Λ.* UM Sch. cont.

εἶναι λεγ.] Ald. Edd. o.; *λεγ. εἶναι* U* Sch.syll.

ἔτι μᾶλλόν γε] UM; *ἔτι γε μᾶλλον* Ald. Edd.

τὰ περὶ] UU* Sch.syll.; *τὰ* om. Ald. Edd.; *τὴν περὶ* Sch.cont.

φησὶ λαβεῖν] *φασὶ λαβεῖν* UM; *λαβεῖν* solum Ald. Edd. o. Mihi cum Scheidero verisimilius est scriptum fuisse — *μᾶλλον τὰ π. Λ. ἐκεῖθεν γὰρ τ. Ἑλ. Ὅμηρός φησι λαβεῖν.*

πολυδ. πόρεν] H. St. Sch.; *πόρε πουλύδαμνα* Ald. *πουλυδ.* quoque dat M. — *Θωνὸς* M Ald.

τόθι πλεῖστα φύει] UM Ald. Sch.; *-φέρει* U*; *τῇ πλ. φέρει* H. St.

τετυγμένα] UM Ald. Sch.; *μεμιγμένα* U* H. St.

ὧν δὴ] Sch.syll.; *ὡὶ δὴ* U*; *ἐν οἷς δὴ* P Ald. Edd. o.

νηπενθὲς ἐκεῖνο] *νηπ. ἄχολον ἐκ. φ. εἰ. καὶ ἄχολον* U*. — *λήθυν* Cam.

ἀπάθειαν] Ald. Edd. o.; *ἀπαλλαγὴν* U*.

κακῶν] Abhinc usque ad *δηλοῦν τὸ κοινὸν* §. 3 extr. om. U*.

ὥσπερ] parum aptum h. l., ideoque vitiosum esse videtur.

ὑπὸ] corr. Sch.; *ἀπὸ* Ald. Edd.

ταῖς ἐλεγείαις] UM Sch.syll.; *τοῖς ἐλεγείοις* Ald. Edd. o.; *in elegiis* G.

2. *οἱ δὲ τόποι*] *δὲ* om. Bas.

καὶ ἧττον] U Sch.syll.; *καὶ τῷ ἧττον* Ald. Edd. o.

ἐστὶ θανατηφ.] *ἐστιν η θαν.* UM.

αὕτη] corr. Sch.; *αὐτὴ* Ald. Edd.

παραχρῆμα] *παρὰ χρῆμα* Ald. Edd. o.

ἐλάττοσιν αἱ δ' ἐν πλείοσιν, ὥστ' ἐνίους καταφθίνειν. ἐν Ἰνδοῖς δὲ καὶ ἕτερα γένη πλείω, περιττότατα δὲ, εἴπερ ἀληθῆ λέγουσιν, ἥ τε δυναμένη τὸ αἷμα διαχεῖν καὶ οἷον ὑποφεύγειν, καὶ πάλιν ἡ συνάγουσα καὶ πρὸς ἑαυτὴν ἐπισπωμένη, ἃ δή φασιν εὑρῆσθαι πρὸς τὰ τῶν ὀφιδίων τῶν θανατηφόρων δήγματα. περὶ 3.
δὲ τὴν Θρᾴκην εἶναι μὲν καὶ ἑτέρας οὐκ ὀλίγας, ἰσχυροτάτην δὲ ὡς εἰπεῖν τὴν ἴσχαιμον, ἣν δὴ λέγουσιν οἱ μὲν κεντηθείσης τῆς φλεβὸς οἱ δὲ καὶ σφοδροτέρως διατμηθείσης ἴσχειν καὶ κωλύειν τὴν χύσιν. [ταῦτα μὲν οὖν ὥςπερ εἴπομεν ἔοικε δηλοῦν τὸ κοινόν.] τῶν μὲν οὖν ἔξω τόπων οἱ φαρμακωδέστατοι οὗτοι. τῶν δὲ περὶ τὴν Ἑλλάδα τόπων φαρμακωδέστατον τό τε Πήλιον τὸ ἐν 4.
Θετταλίᾳ καὶ τὸ Τελέθριον τὸ ἐν Εὐβοίᾳ καὶ ὁ Παρνασὸς ἔτι δὲ καὶ ἡ Ἀρκαδία καὶ ἡ Λακωνική· καὶ γὰρ αὗται φαρμακώδεις ἀμφότεραι· ὃ καὶ οἵ γε Ἀρκάδες εἰώθασιν ἀντὶ τοῦ φαρμακοποτεῖν γαλακτοποτεῖν περὶ τὸ ἔαρ ὅταν οἱ ὀποὶ μάλιστα τῶν τοιούτων φύλλων ἀκμάζωσι· τότε γὰρ φαρμακωδέστατον τὸ γάλα· πίνουσι δὲ βόειον· δοκεῖ γὰρ πολυνομώτατον καὶ παμφαγώτατον εἶναι πάντων ὁ βοῦς. φύεται δὲ παρ' αὐτοῖς ὅ τε ἐλλέβορος ἀμφότερος καὶ ὁ λευκὸς 5.
καὶ ὁ μέλας· ἔτι δὲ δαῦκον δαφνοειδὲς κροκόεν, καὶ ἣν ἐκεῖνοι μὲν ῥάφανον ἀγρίαν καλοῦσι τῶν δ' ἰατρῶν τινες κεραΐν, καὶ ἣν οἱ μὲν ἀλθαίαν ἐκεῖνοι δὲ μαλάχην ἀγρίαν, καὶ ἡ ἀριστολοχία καὶ τὸ σέσελι καὶ τὸ ἱπποσέλινον καὶ τὸ πευκέδανον καὶ ἡ ἡράκλεια καὶ ὁ στρύχνος ἀμφότερος ὅ τε φοινικοῦν ἔχων τὸν καρπὸν καὶ ὁ μέλανα. φύεται δὲ καὶ ὁ σίκυος ὁ ἄγριος ἐξ οὗ τὸ ἐλατήριον 6.

ὥστ' — καταφθίνειν] Locus est mutilus.

ἐν Ἰνδοῖς δὲ] U Sch., *ἐν Ἰνδοῖς τε* M; *εἰς Ἰνδούς τε* Ald. Edd.

ἕτερα γένη πλείω] corr. Dalec.; *ἕ. μέρη πλ.* Ald. Edd.; *μὲν* pro *μέρη* Vin. unde *ἕτεραι μὲν πλείους* Sch.

περιττότατα] sic correxi; *περιττοτάτη* Ald. Edd. o. Aut *περιττότατα* aut *περιττόταται* scribendum: illud propter sequens *ἃ* praetuli.

ἃ δή] UM Ald. Sch.; *ἅτε* H., *ἅτε* St.; *ἃς δή* corrigit Sch. Cur. sec. p. 493.

ὀφιδίων] UM Sch. syll.; *ὄφεων* Ald. Edd. o.

3. *ἰσχυροτάτην*] UP Ald. Bas. Sch.; *ἰσχυρότατον* Cam. H. St.

ταῦτα — κοινόν.] Clausulam huic loco minime congruam ut spuriam uncis seclusi. Pertinet autem ad finem capitis, ubi aliis verbis idem dicitur. *ὥςπερ εἴπομεν* om. P.

τῶν μὲν οὖν ἔξω] U*; *καὶ τῶν ἔξω* UM Ald. Edd.

οἱ φαρμακ. οὗτοι] UM Ald. Edd. o., qui *εἰσὶ* addunt, quod omisi; *οὗτοι φαρμακωδέστατοι* U*.

4. *Θετταλίᾳ*] *θαλαττίᾳ* UM.

ἐν Κυβ.] UMU* Sch. syll.; *ἐν τῇ εὐβ.* Ald. Edd. o.

Παρνασός] Ald. Edd. o.; *παρνασσὸς* U U*M.

δὲ καὶ ἡ] UM; *καὶ* om. Ald. Edd.; *καὶ ἡ ἀρκ. τε καὶ ἡ λακ.* U*. — *γὰρ* om. U*.

φύλλων] in U* prius *λ* in litura, unde *φυτῶν* conjicere possis.

τὸ γάλα] *τὸ* om. U*.

δὲ βόειον] U; *δὲ βόρειον* M; *δὲ τὸ βόειον* Ald.

εἶναι] UU* Sch. syll.; om. Ald. Edd.

5. *δὲ παρ'*] *γὰρ* U; *γὰρ παρ'* P. — *ἀμφοτέροις* U*

ἔτι τε δαῦκον] *ἔτι τὲ δαύκον* U*.

ῥάφανον ἀγρίαν] U* Ald. Edd.; *brassicam silvestrem* G. Sch. ex Athen. 9 p. 371, Hesychio s. v. *σταφυλῖνος*, Apulej. de herb. c. 80, Dioscor. 3, 52 (59) *σταφυλῖνον ἄγριον* substituit, quod testibus scripturae refragantibus facere non ausus sum.

κεραΐν] U* Sch. syll.; *κέραν* U Ald. Edd. o. G. — *καλοῦσι* om. U*.

ἀλθαίαν] corr. Sch. e cap. 18, 1; *ἀλθέαν* Ald. Edd.

ἱπποσέλινον] H. St. Sch.; *--σέληνον* Ald.

πευκέδανον] Ald. Edd. o.; *πευκεδανὸν* U*.

ἡ ἡρ.] Hic et ante *ἀριστολοχία* articulum om. U, hic M quoque.

6. *ὁ σικ. ὁ ἄγρ.*] Ald. Edd. o.; *ὁ* posterius om. U*.

συντίθεται· καὶ ὁ τιθύμαλλος ἐξ οὗ τὸ ἱπποφάες· ἄριστον δὲ τοῦτο περὶ Τεγέαν κἀκεῖνο μάλιστα σπουδάζεται· φύεται δ' ἐκεῖ ἐπὶ πλέον· πλεῖστον δὲ καὶ κάλ-
7. λιστον φύεται περὶ τὴν Κλειτορίαν. ἡ δὲ πανάκεια γίνεται κατὰ τὸ πετραῖον περὶ Ψωφῖδα καὶ πλείστη καὶ ἀρίστη. τὸ δὲ μῶλυ περὶ Φενεὸν καὶ ἐν τῇ Κυλλήνῃ. φασὶ δ' εἶναι καὶ ὅμοιον ᾧ ὁ Ὅμηρος εἴρηκε, τὴν μὲν ῥίζαν ἔχον στρογγύλην προσεμφερῆ κρομύῳ τὸ δὲ φύλλον ὅμοιον σκίλλῃ· χρῆσθαι δὲ αὐτῷ πρός τε τὰ ἀλεξιφάρμακα καὶ τὰς μαγείας· οὐ μὴν ὀρύττειν γ' εἶναι χαλε-
8. πὸν ὡς Ὅμηρός φησι. τὸ δὲ κώνειον ἄριστον περὶ Σοῦσα καὶ ἐν τοῖς ψυχροτάτοις τόποις. γίνεται δὲ καὶ ἐν τῇ Λακωνικῇ τὰ πολλὰ τούτων· καὶ γὰρ αὕτη πολυφάρμακος. ἐν Ἀχαίᾳ δὲ ἥ τε τραγάκανθα πολλὴ καὶ οὐδὲν χείρων ὡς οἴονται τῆς Κρητικῆς ἀλλὰ καὶ τῇ ὄψει καλλίων· καὶ δαῦκον περὶ τὴν Πατραϊκὴν διαφέρον· τοῦτο δὲ θερμαντικὸν φύσει, ῥίζαν δὲ ἔχει μέλαιναν. φύεται
18 St. δὲ τὰ πολλὰ τούτων καὶ ἐν τῷ Παρνασῷ καὶ περὶ τὸ Τελέθριον. καὶ ταῦτα μὲν κοινὰ πλειόνων χώρων.

καὶ ὁ τιθύμαλλος] U*; *καὶ τὸ τιθύμαλλον* Ald. Edd. o.; *τὸ* om UM.

ἱπποφάες] USch.syll.; *ἱπποφαὲς* M; *hippophaes* G. unde *ἱππόφαες* mBas.; *ἱπποµανὲς* U* Ald. Edd. o. Si verba recte haberent *hippophaes* esset praeparatum medicum. Dioscor. 4, 159 (152) nominat plantam *ἱπποφαὲς*. Hippocr. Int. aff. I. p. 539, 543. 544 ed. Foes. *ἱπποφαέως ὀπὸν* commemorat. Galen. Lex. Hipp. *ἱπποφαέως* (*ἱππόφεως* ed. Steph.) *τοῦτο οὐ µόνον ἱπποφαὲς ὀνοµάζεται ἀλλὰ καὶ κνάφον καὶ στύβον.* Inde colligere possis *ἱπποφαὲς* idem esse quod Theophr. alibi (6, 4, 1. 6, 5, 1.) *φέως* ac *ἱππόφεως* dixit. Quidquid statuis *ἱπποφάες* plantae nomen esse videtur; aut igitur excidit post *οὗ* nomen medicamenti e tithymallo parati, aut verba *ἐξ οὗ* vitiosa, e superioribus scilicet temere repetita sunt. Salm. Ex. p. 660 corrigebat *ἐξ οὗ ὁ ὀπὸς µόνος.*

τοῦτο] UU*; *τὸ* Ald. Edd. o.

κἀκεῖνο] UM Sch.syll.; *καὶ ἐκεῖ* cum vestigio liturae in fine U*; *καὶ ἐκεῖ* Ald. Edd. o.

φύεται δ' ἐκεῖ ἐπὶ πλέον] sic scribere sequentia suadent; *φ. δὲ καὶ ἐ. πλ.* Ald. H. Sch.; *φ. δ' ἐκεῖ καὶ ὑπόφαες* St. Omisit haec G.

7. *κατὰ τὸ πετραῖον*] dedit de conj. St. probantibus fere Sch. et Spr.; *καὶ τὸ π.* Ald. H. Sch. *Nascitur circa clitorium panacea: et petraea circa psophidem plurima et optima provenit* G. Conjectura recepta locum restitutum esse haud credo.

Φενεὸν] U Vo. Sch.; *φανεὸν* Ald. Edd. G.; *φονεὸν* P.

κυλλήνῃ· φασὶ δ' εἶναι καὶ] Ald. Edd.; *κυλλήνῃ φασὶν εἶναι· καὶ* Sch., qua correctione haud opus est. Aliter G.: *Moly apud fanum exit atque apud cylenam esse quemadmodum homerus dixit. Affirmant radice* etc.

ᾧ ὁ Ὅµ.] U*; *ᾧ Ὅµ.* Sch.syll.; *ὡς Ὅµ.* Ald. Edd. o. — *εἴρηκεν* U*.

προσεµφερῆ] UM Sch.; *προσεµφερὲς* Ald. Edd.

πρός τε τὰ] *τε* om. UM.

ὀρύττειν γ' εἶναι] Sch.syll.; *ὀρ. γε εἶναι* Ald. Edd. o.; *ὀρύσσειν γ' εἰ.* U*.

φησι] *φησίν* U*. Deinceps *τὸ δὲ — τόποις* om. U*.

8. *κώνειον*] *κώνιον* P.

ἄριστον] Ald. Edd. o.; *ἄριστα* UM.

Σοῦσα] Ald. Sch.; *Σοῦσαν* P H. St.; Susā G.; Sch. conjicit *Δοῦσα* scriptum fuisse, id enim est nomen oppidi Arcadiae.

ἥ τε τραγάκανθα] corr. Sch.; *ἡ τετραγάκανθα* Ald.; *ἡ τραγάκανθα* H. St.; *ἡ τραγάκανθος* UM.

Ἀχαίᾳ] P, correxerat cum Scaligero Sch.; *Ἀρκαδίᾳ* Ald. Edd.

καλλίων] *βελτίων* U*.

δαῦκον] *δαύκων* P. — Idem deinde *διαφέρων.*

πατραϊκὴν] corr. Sch.syll., cf. c. 20. 2; *πατρικὴν* Ald. Edd. o.; *patrensi agro* G.; *σπαρτιακήν* U*; *σπαρτικὴν* marg. P.

τὰ πολλὰ] *τὰ* om. UM.

παρνασῷ] Ald. Edd. o.; *παρνασσῷ* UMU*.

χώρων] om. UM.

Cap. XVI. Τὸ δὲ δίκταμνον ἴδιον τῆς Κρήτης θαυμαστὸν δὲ τῇ δυνάμει καὶ πρὸς πλείω χρήσιμον μάλιστα δὲ πρὸς τοὺς τόκους τῶν γυναικῶν. ἔστι δὲ τὸ μὲν φύλλον παρόμοιον τῇ βληχοῖ, ἔχει δέ τι καὶ κατὰ τὸν χυλὸν ἐμφερὲς τὰ δὲ κλωνία λεπτότερα. χρῶνται δὲ τοῖς φύλλοις, οὐ τοῖς κλωσὶν οὐδὲ τῷ καρπῷ· χρήσιμον δὲ πρὸς πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ ὥσπερ ἐλέχθη πρὸς τὰς δυστοκίας τῶν γυναικῶν· ἢ γὰρ εὐτοκεῖν φασι ποιεῖν ἢ παύειν γε τοὺς πόνους ὁμολογουμένως· δίδοται δὲ πίνειν ἐν ὕδατι. σπάνιον δέ ἐστι· καὶ γὰρ ὀλίγος ὁ τόπος ὁ φέρων καὶ τοῦτον αἱ αἶγες ἐκνέμονται διὰ τὸ φιλῆδεῖν. ἀληθὲς δέ φασιν εἶναι καὶ τὸ περὶ τῶν βελῶν ὅτι φαγούσαις ὅταν τοξευθῶσι ἐκβάλλει. τὸ μὲν οὖν δίκταμνον τοιοῦτόν τε καὶ τοιαύτας ἔχει τὰς δυνάμεις. τὸ δὲ ψευδοδίκταμνον τῷ μὲν φύλλῳ ὅμοιον τοῖς κλωνίοις δ' ἔλαττον τῇ δυνάμει δὲ πολὺ λειπόμενον. βοηθεῖ μὲν γὰρ καὶ ταὐτὰ χεῖρον δὲ πολλῷ καὶ ἀσθενέστερον. ἔστι δὲ εὐθὺς ἐν τῷ στόματι φανερὰ τοῦ δικτάμνου ἡ δύναμις· διαθερμαίνει γὰρ ἀπὸ μικροῦ σφόδρα. τιθέασι δὲ τὰς δεσμίδας ἐν νάρθηκι ἢ καλάμῳ πρὸς τὸ μὴ ἀποπνεῖν· ἀσθενέστερον γὰρ ἀποπνεῦσαν. λέγουσι δέ τινες ὡς ἡ μὲν φύσις μία ἡ τοῦ δικτάμνου καὶ ἡ τοῦ ψευδοδικτάμνου, διὰ δὲ τὸ ἐν εὐγειοτέροις φύεσθαι τόποις χεῖρον γίνεσθαι καθάπερ καὶ ἄλλα πολλὰ ἀλλοιοῦται κατὰ τὰς δυνάμεις. τὸ γὰρ δίκταμνον φιλεῖ χώραν τραχεῖαν. ἔστι δὲ καὶ ἕτερον

2

3

Cap. XVI.

δίκταμνον] U* M1. Sic et U et U* fere semper exhibent, nec non M; Ald. utramque scripturam habet; *δίκταμον* Ald. Edd. o.; *dictamum* G.; *δίκταμνον* M2. Formam *δίκταμνον* praebent Aristot. H. A. 9, 6, Euphorio apud Schol. Arat. v. 33, codices Cicer. N. Deor. 2, 50, Stat. Silv. 1, 4, 102, Virg. Aen. 12, 403.

ἔχει δέ τι καὶ κατὰ] P Sch., et Ald. Edd. sed omisso *καὶ*; *ἔτι δὲ ἔχει καὶ κατὰ* UM.

κλωνία] Sch.syll.; *κλώνια* Ald. Edd. o.

μὲν] om. U*.

δυστοκίας] *δυστοκείας* P.

τοὺς πόνους] *τοῖς πόνοις* UM.

ὁμολογουμένως] *ὁμολοιομένους* M1; *ὁμολοιουμένους* M2.

ἐν] om U*.

τοῦτον] *τοῦτο*, dein *ἐκνέμονται δὲ διὰ* U*.

ἀληθὲς] *ἀληθῶς* UM.

τὸ περὶ] *τὸ* om. UM.

φαγούσαις] UM Sch.syll.; *φαγοῦσαι* U*; *φαγούσας* Ald. Edd. o. *Capras nempe sagitta transfixas dictamo devorato telum ejicere* G.

ἐκβάλλει] corr. Sch.syll.; *ἐκβάλλειν* Ald. Edd. o.

δίκταμνον] U*; *δίκταμον* Ald. Edd. o.

τοιοῦτόν τε] UM Sch.; *τ. γε* Ald. Edd.

2. *ψευδοδίκταμνον*] UU*; *—ταμον* Ald. Edd. o.; — *dictamum* G.

δὲ πολὺ] *δὲ* om. UM.

βοηθεῖ — καὶ ταὐτὰ] Ald. H. St. (qui *ταῦτα* habent) Sch.; *βοηθεῖν μὲν γὰρ ταῦτα* UM; *καὶ ταῦτα* etiam U*; *βοηθεῖ μὲν γὰρ* [*πρὸς*] *ταῦτα* Sch.syll.

χεῖρον] Ald. Edd.; *χείρω* UMU*.

τοῦ δικτάμνου ἡ δύναμις] U* et Sch.syll. (qui *δικτάμου* habet); *ἡ τοῦ δικτάμου δύναμις* Ald. Edd. o.

διαθερμαίνει] U* Sch. syll.; *θερμαίνει* Ald. Edd. o.

δὲ τὰς] U* Sch.syll.; *δὲ καὶ τὰς* Ald. Edd. o.

νάρθηκι ἢ καλ.] Sch.; *ναρθηκιδη ἢ καλ.* U; *ναρθηκίδι ἢ καλ.* M; *νάρθηκι καὶ καλ.* Ald. H. St.

ὡς ἡ] *ὡς* om. U*.

δικτάμνου] U* Ald.; *-τάμου* H. St. Sch.

ψευδοδικτάμνου] U U* Ald.; *-τάμου* H. St. Sch.

καὶ ἄλλα] UM Sch.syll.; *καὶ* om. Ald. Edd.

ἀλλοιοῦται] dedi e conj.; *πλείω τούτων* Ald. Edd. o., quae verba plane otiosa ne dicam inepta. Desideratur autem verbum; scripsi id cujus vestigia invenire mihi videor in scriptura Ald. nec non in U*, qui nonnullis omissis sic habet: *καθάπερ τὰ πλείω τῶν κατὰ τᾶς δυν.*; *ut viribus deterioribus ex loco reddantur* G.

δίκταμνον ὥσπερ ὁμώνυμον, οὔτε τὴν ὄψιν οὔτε τὴν δύναμιν ἔχον τὴν αὐτήν· φύλλον γὰρ ἔχει ὅμοιον σισυμβρίῳ τοὺς δὲ κλῶνας μείζους· ἔτι δὲ τὴν χρείαν καὶ τὴν δύναμιν οὐκ ἐν τοῖς αὐτοῖς. τοῦτο μὲν οὖν ὥσπερ ἐλέχθη θαυμαστὸν ἅμα καὶ ἴδιον τῆς νήσου. φασὶ δέ τινες ὅλως τῶν φύλλων καὶ τῶν ὀροδάμνων καὶ ἁπλῶς τῶν ὑπὲρ γῆς τὰ ἐν Κρήτῃ διαφέρειν, τῶν δὲ ἄλλων τῶν γε πλεί-
4. στων τὰ ἐν τῷ Ἁρνασῷ. τὸ δ' ἀκόνιτον γίνεται μὲν καὶ ἐν Κρήτῃ καὶ ἐν Ζακύνθῳ, πλεῖστον δὲ καὶ ἄριστον ἐν Ἡρακλείᾳ τῇ ἐν Πόντῳ. ἔχει δὲ φύλλον μὲν κιχοριῶδες, ῥίζαν δὲ ὁμοίαν τῷ σχήματι καὶ τῷ χρώματι καρίδι, τὴν δὲ δύναμιν τὴν θανατηφόρον ἐν ταύτῃ· τὸ δὲ φύλλον καὶ τὸν καρπὸν οὐθέν φασι ποιεῖν· καρπὸς δέ ἐστι πόας οὐχ ὑλήματος. βραχεῖα δὲ ἡ πόα καὶ οὐδὲν ἔχουσα περιττὸν ἀλλὰ παρομοία τῷ σίτῳ τὸ δὲ σπέρμα οὐ σταχυηρόν. φύεται δὲ πανταχοῦ καὶ οὐκ ἐν ταῖς Ἀκόναις μόνον ἀφ' ὧν ἔχει τὴν προσηγορίαν· αὕτη δέ ἐστι κώμη τις τῶν Μαριανδυνῶν· φιλεῖ δὲ μάλιστα τοὺς πετρώδεις τόπους·
5. οὐ νέμεται δὲ οὔτε πρόβατον οὔτ' ἄλλο ζῶον οὐδέν. συντίθεσθαι δὲ τρόπον τινὰ πρὸς τὸ ἐργάζεσθαι καὶ οὐ παντὸς εἶναι· διὸ καὶ τοὺς ἰατροὺς οὐκ ἐπιστα μένους συντιθέναι σηπτικῷ τε χρῆσθαι καὶ πρὸς ἄλλα ἄττα· πινόμενον δ' οὐδεμίαν αἴσθησιν ποιεῖν οὔτ' ἐν οἴνῳ οὔτ' ἐν μελικράτῳ· συντίθεσθαι δὲ ὥστε κατὰ χρόνους τακτοὺς ἀναιρεῖν, οἷον δίμηνον τρίμηνον ἑξάμηνον ἐνιαυτόν, τοὺς δὲ καὶ δύο ἔτη· χείριστα δὲ ἀπαλλάττειν τοὺς ἐν πλείστῳ χρόνῳ καταφθίνοντος τοῦ σώματος, ῥᾷστα δὲ τοὺς παραχρῆμα. λυτικὸν δὲ φάρμακον οὐχ εὑρῆσθαι

3. *δίκταμνον*] U Ald.; *-ταμον* H. St. Sch. *ὁμώνυμον*] *ὅμοιον* U*; *εὐώνυμον* P. *δύναμιν ἔχον*] UM Sch. In Ald. Edd. *ἔχον* sequitur post *ὄψιν*. *φύλλον γὰρ*] U*; *φύλλον τε γὰρ* Ald. Edd. o. — Dein *ὅμοιον ἔχει* U*. — *σισιμβρίῳ* U*. — *ἔχειν* Ald. Edd. *τοὺς δὲ*] U*; *τούς τε* Ald. Edd. o. *οὖν*] om. UM. *ὀροδάμνων*] U*P Sch.syll.; *θάμνων* marg. P Ald. Edd. o. Ceterum miror vocabulum rarum a Theophrasto hoc uno loco positum. Sed *θάμνων* male habet.

τῶν γε πλ.] *τῶν τε πλ.* U*. Vix integra sunt haec verba.

Ἁρνασῷ] Ald. Edd. o.; *παρνασσῷ* UU*.

4. *τὸ δ' ἀκόνιτον*] cf. Theopompum apud Antig. Caryst. Mirab. s. 131.

μὲν καὶ] U M G.; *μὲν ὥς φασι καὶ* Ald. Edd. o.; Sch. *ὥς φ.* seclusit.

ἔχει δὲ] Abhinc usque ad *φασι ποιεῖν* om. U*.

κιχοριῶδες] sic correxi; *κιχωριῶδες* Ald. Edd.; *κυκλῶδες* St.

καρίδι] dedi e conj., in quam duxit scriptura libri U *καρίαι*; *καρύᾳ* Ald. Edd. o.; *καρύῳ* corr. Bod. Nunc consentit ab hac parte Th. cum Dioscoride 4, 78 qui alterum aconitum *ῥίζας ὥσπερ πλεκτάνας καρίδων μελαίνας* habere dicit.

οὐθέν] U Sch.; *οὐδέν* Ald. Edd. *ποιεῖν*] *ποιοῦν* UMP *καρπός*] Abhinc usque ad *ζῶον οὐδέν* om. UM G. *πόας οὐχ*] U*; *πόας καὶ οὐχ* Ald. Edd.; *καὶ* seclusit Sch.syll. *πανταχοῦ*] Iterum *πολλαχοῦ* scribendum esse censeo.

Μαριανδυνῶν] corr. Sch. praeeunte Meurs. Th. p. 101. Salmas. Ex. p. 619.; *περιανδύνων* U* Ald. H.; *Μαριανδόνων* St.

5. *συντίθεσθαι*] Abhinc usque ad *χρῆσθαι κἄπειτα* om. U*, paucis verbis interjectis, quae suo loco adnotantur. *δὲ τρόπον*] *δὲ* om. M. *πινόμενον δὲ*] *δὲ*, quod om. Ald. Edd., addidit Sch. *ποιεῖν*] U Sch.syll.; *ποιεῖ* Ald. Edd. o.; *nihil penitus posse efficere* G. *τοὺς δὲ καὶ δύο*] *nonnullum etiam biennio* G. *καταφθίνοντος*] UP Sch. de conj.; *καταφθίνον* M; *καταφθίνοντας* Ald. Paullo auctius G. *pessime illos de vita discedere volunt, qui plurimum temporis resistere possunt. Paullatim enim tabescat corpus et languore pereat diuturno esse necesse.*

καθάπερ ἀκούομεν ἕτερόν τι φυόμενον. ἀλλὰ τοὺς ἐγχωρίους ἀνασώζειν τινὰς μέλιτι καὶ οἴνῳ καὶ τοιούτοις τισί, σπανίως δὲ καὶ τούτους καὶ ἐργωδῶς. ἀλλὰ 6.
τοῦ ἐφημέρου τὸ φάρμακον εὑρῆσθαι· ἕτερον γάρ τι ῥίζιον εἶναι ὃ ἐφήμερον ἀπαλλάττει· τοῦτο δὲ φύλλον ὅμοιον ἔχειν τῷ ἑλλεβόρῳ ἢ τῷ αἰρίῳ· καὶ τοῦτο πάντας εἰδέναι· διὸ καὶ τὰ ἀνδράποδά φασι πολλάκις παροργισθέντα χρῆσθαι, κἄπειτα ἰατρεύειν αὐτὰ πρὸς τοῦτο ὁρμῶντα καὶ γὰρ οὐδὲ ταχεῖαν ποιεῖσθαι τὴν ἀπαλλαγὴν οὐδὲ ἐλαφρὰν ἀλλὰ δυσχερῆ καὶ χρόνιον· εἰ μὴ ἄρα διὰ τὸ εὐ-

καθάπερ ἀκούομεν] *καθ. ἠκούομεν* UM; *ὥσπερ ἀκούομεν* Ald. Edd. o.

ἕτερόν τι φυόμενον] dedi e conjectura. Verte: *Neque accepimus inventum esse aliud quid sponte natum remedium quod aconiti vim dissolvat: sed rusticanos remedio e melle ac vino parato interdum mederi sed raro ac operose.* *ἕτερόν τι φύεσθαι* U Ald. H.; om. St. Sch. posito ante *ὥσπερ* commate *ἑτέρων τι φύεσθαι* scripsit, quod vertit *qualia contra cetera venena nasci traduntur.*

ἀλλὰ τοὺς ἐγχωρ.] sic UM; *ἀλλά τινες τοῖς ἐνεγκαμένοις βοήθειαι εὕρηνται. τοὺς γὰρ ἐγχ.* Ald. H. St. et Sch. qui *προσενεγκαμένοις* scripsit. Sed in Syll. verba ab UM omissa seclusit. Recte; nam verba *τινες — εὕρηνται* spuria esse verbum finitum prodit inter infinitivos male positum: originem traxerunt e margine ubi sic adscripta fuerunt „*τίνες — εὕρηνται;*“ U* post extrema §. 4 *ζῶον οὐδέν* addit *βοήθειαι δὲ τοῖς ἐνεγκαμένοις εἰσί· πολλάκις γάρ φασι τὰ ἀνδράποδα* — iterum multis omissis. Gaza, si graeca codicis sui vertit, alia habuisse videtur: *Remedium nusquam esse compertum. Sed falso dici quoddam aliud resistens illi haberi. Non enim herba sed melle et mero et quibusdam ejusmodi servari aliquos potuisse.*

6. *ἀλλὰ τοῦ ἐφημέρου τὸ φ.*] U Sch. syll.; *ἀλλὰ τὰ ἐφ' ἡμέρου τὸ φ.* M; *ἀλλὰ καὶ τὸ ἐφημέρου φ.* Ald. H.; *ἀλλὰ δέ τι ἐπὶ τοῦ ἐφ. φ.* St. *Aliud quoque venenum vim diurnariam enecandi sortiens compertum affirmant.* G., quem graeca perperam vertisse reprehendit Sch. Cur. sec. p. 495, laudans *de Candolle et Encontre Recherches sur la botanique des anciens.* Tota haec de *ephemero* narratio satis obscura et hiulca absque dubio magnis scripturae vitiis, inprimis in pronomine *τοῦτο* conspicuis, laborat, quae divinando conjectandoque tolli nequeunt; nec aliorum scriptorum comparatio quidquam fert opis. Exscripsi igitur totam fere ut extat in Aldina. Linkio sic emendanda esse sunt visa — *καὶ τούτου τὸ φάρμακον πάντας εἰδέναι. — χρῆσθαι ἐκείνῳ· κἄπειτα* etc. Sed vereor ut sic locus sit restitutus. Nam ab initio quoque oratio parum concinna. Dein *τοῦτο* prius necessario referendum est ad *τὸ ἐφήμερον, venenum intra unum diem enecans,* propter id quod sequitur *διὸ — χρῆσθαι:* nam si *τοῦτο* ad *τὸ φάρμακον* i. e. *remedium contra ephemerum veneficum* referre, sive cum Linkio protinus *τούτου τὸ φάρμακον* scribere velis, ratio grammatica poscit ut deinceps *χρησάμενα* scribatur, quia nunc actio principalis *usus veneni* esse nequit, sed *curatio* esse debet.

ὃ ἐφήμερον ἀπ.] P H. St. Sch.; *quod eodem die possit occidere* G.; *ὃ ἐφημεραῖον ἀπ.* U, *ὃ ἐφ' ἡμεραῖον* M; *ὃ οὐκ ἐφήμερον ἀπαλλάττει* Ald. Galli supra laudati male sic acceperunt: *il existe une certaine petite racine qui en detruit absolument l'effet.*

αἰρίῳ] Ald. H.; *λειρίῳ* e corr. Guilandini aliorumque St. Sch., cujus conjecturae auctor Dioscor. 4, 85 *φύλλα ὅμοια κρίνῳ:* at is aliam plantam descripsit. G. omisit. Verba *τῷ ἑλλ. ἢ* om. St. Ceterum *ἑλεβόρῳ* Ald. — Paullo ante *τόνδε δὲ καὶ φύλλον* U, *τῶνδε δὲ καὶ φ.* M.

τοῦτο πάντας] Ald. Edd.; *τοῦτο μὲν π.* UM.

διὸ — χρῆσθαι] Post verba *— ἐνεγκαμένοις εἰσί* pergit U* *πολλάκις γάρ φασι τὰ ἀνδράποδα παροργισθέντα χρῆσθαι κἄπ. ἰα. αὐτά· καὶ γὰρ οὐδὲ* etc.

πρὸς — ὁρμῶντα] Haec verba post *χρῆσθαι* transponi mavult Sch. Cur. sec. p. 495. Post *ὁρμῶντα* addunt UM *καὶ τοὺς οἰκέτας ἐπὶ τοῦτο ὁρμᾷν,* deinceps omittunt omnia usque ad *δυνατηρόρων.* Eadem illa verba *καὶ — ὁρμᾷν* vertit Gaza, ceteris post *εἰδέναι* omissis sic: *Notamque omnibus esse: et quidem famulos hanc petere solere. Aconitum vero, ut dictum.*

ἀλλὰ δυσχ.] *οὐδὲ δυσχ.* U*.

εἰ μὴ — ὡς δεῖ] sic Ald. Edd. o.; *ἀθεράπευτον* habent U*P. Sch. scribi vult *εἰ μὴ ἄρα διὰ τὸ ἀκατασκεύαστον εἶναι ὡς δεῖ καὶ εὐθεράπευτόν ἐστι,* quod nec in sententiarum nexu aptum nec satis graece dictum esse videtur. St. *εἰ μὴ εὐκατασκεύαστον· καὶ γὰρ εὐθεράπευτον εἶναι εἰ μὴ εὐκατασκεύαστον ὡς δεῖ.* Verba cum vitiis suis retinui, quibus mederi velle temerarium est.

θεράπευτον εἶναι καὶ ἀκατασκεύαστον ὡς δεῖ. φασὶ γοῦν καὶ παραχρῆμα ἀπ-
ἀλλάττεσθαι καὶ ὕστερον χρόνῳ τοὺς δὲ καὶ εἰς ἐνιαυτὸν ἄγειν, καὶ τὰς δόσεις
ἀβοηθήτους εἶναι. ταῦτα δὲ ἐξακριβωθῆναι μάλιστα παρὰ τοῖς Τυρρηνοῖς τοῖς
7. ἐν Ἡρακλείᾳ. τοῦτο μὲν οὖν οὐδὲν ἄτοπον εἰ τρόπον μέν τινα ἀβοήθητον ἄλ-
λως δὲ βοηθήσιμον ὥσπερ καὶ ἕτερα τῶν θανατηφόρων. τὸ δὲ ἀκόνιτον ἄχρη-
στον ὥσπερ εἴρηται τοῖς μὴ ἐπισταμένοις· οὐδὲ κεκτῆσθαι δὲ ἐξεῖναι ἀλλὰ θά-
νατον τὴν ζημίαν· τὴν δὲ τῶν χρόνων διαφορὰν ἀκολουθεῖν κατὰ τὰς συλλογάς·
8. 17 H. 19 St. ἰσοχρόνους γὰρ τοὺς θανάτους γίνεσθαι τοῖς ἀπὸ τῆς συλλογῆς χρόνοις. Θρα-
σύας δ' ὁ Μαντινεὺς εὑρήκει τι τοιοῦτον ὥσπερ ἔλεγεν ὥστε ῥᾳδίαν ποιεῖν καὶ
ἄπονον τὴν ἀπόλυσιν τοῖς ὑποῖς χρώμενος κωνείου τε καὶ μήκωνος καὶ ἑτέρων
τοιούτων ὥστε εὔογκον εἶναι σφόδρα καὶ μικρὸν ὅσον εἰς ὀραχμῆς ὁλκήν. ἀ-
βοήθητον δὲ πάντη καὶ δυνάμενον διαμένειν ὁποσονοῦν χρόνον καὶ οὐδὲν ἀλ-
λοιούμενον. ἐλάμβανε δὲ τὸ κώνειον οὐχ ὅθεν ἐτύγχανεν ἀλλ' ἐκ Σούσων καὶ
εἴ τις ἄλλος τόπος ψυχρὸς καὶ παλίσκιος· ὡσαύτως δὲ καὶ τἆλλα. συνετίθει
δὲ καὶ ἕτερα φάρμακα πολλὰ καὶ ἐκ πολλῶν. δεινὸς δὲ καὶ Ἀλεξίας ὁ μαθη-
τὴς αὐτοῦ καὶ οὐχ ἧττον ἔντεχνος ἐκείνου· καὶ γὰρ τῆς ἄλλης ἰατρικῆς ἔμπει-
9. ρος. ταῦτα μὲν οὖν εὑρῆσθαι δοκεῖ πολλῷ μᾶλλον νῦν ἢ πρότερον. ὅτι δὲ
διαφέρει τὸ χρῆσθαί πως ἑκάστῳ φανερὸν ἐκ πολλῶν· ἐπεὶ καὶ Κεῖοι τῷ κω-
νείῳ πρότερον οὐχ οὕτω ἀλλὰ τρίβοντες ἐχρῶντο καθάπερ οἱ ἄλλοι· νῦν δ' οὐδ'

ἀβοηθήτους] PU* Sch.syll.; *εὐβοηθήτους* Ald. Edd. o., quod si tueri velis debes ante *τὰς δόσεις* interserere *ταύτας* i. e. *τὰς εἰς ἐνιαυτὸν*, ut cum superioribus quodammodo conveniant.

7. *μὲν οὖν οὐδὲν*] *οὖν* de meo addidi, quod inter *μὲν* et *οὐδὲν* facile excidit.

ἄλλως] P, corr. Bas, H. St. Sch.; *ἄλλας* Ald. Cam.

